SAMMLUNG TUSCULUM

Wissenschaftliche Beratung:

Gerhard Fink, Niklas Holzberg,
Joachim Latacz, Rainer Nickel

APOLLODOR

BIBLIOTHEKE

GÖTTER- UND HELDENSAGEN

Herausgegeben, übersetzt und kommentiert
von Paul Dräger

ARTEMIS & WINKLER

Die Deutsche Bibliothek – CIP Einheitsaufnahme

Die Deutsche Bibliothek verzeichnet diese Publikation in der Deutschen Nationalbibliografie; detailierte bibliografische Daten sind im Internet über http://dnb.ddbde abrufbar.

© 2005 Patmos Verlag GmbH & Co. KG
Artemis & Winkler Verlag, Düsseldorf und Zürich
Alle Rechte vorbehalten
Druck und Verarbeitung: Pustet, Regensburg
ISBN 3-7608-1741-6
www.patmos.de

INHALT

TEXT UND ÜBERSETZUNG

Photios über die *Bibliotheke* des Apollodor 8

Erstes Buch 10
Zweites Buch 72
Drittes Buch 150
Epitome 238

ANHANG

Zum Text 339
Konkordanz 357
Inhaltsübersicht 365
Erläuterungen 377
Erklärendes Verzeichnis der Eigennamen 691
Stammbäume 819
Einführung 837
Literaturhinweise 897

ΑΠΟΛΛΟΔΩΡΟΥ
ΑΘΗΝΑΙΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ
ΒΙΒΛΙΟΘΗΚΗ

APOLLODORS, EINES ATHENISCHEN GRAMMATIKERS, BIBLIOTHEKE

ΦΩΤΙΟΣ ΠΕΡΙ ΤΗΣ ΤΟΥ ΑΠΟΛΛΟΔΩΡΟΥ ΒΙΒΛΙΟΘΗΚΗΣ

ἐν τῷ αὐτῷ δὲ τεύχει (scil. ἐν ᾧ Κόνωνος διηγήσεις) καὶ Ἀπολλοδώρου γραμματικοῦ βιβλιδάριον ἀνεγνώσθη μοι· Βιβλιοθήκη αὐτῷ ἡ ἐπιγραφή. περιεῖχε δὲ τὰ παλαίτατα τῶν Ἑλλήνων, ὅσα τε περὶ θεῶν τε καὶ ἡρώων ὁ χρόνος αὐτοῖς δοξάζειν ἔδωκεν, ὀνομασίας τε ποταμῶν καὶ χωρῶν καὶ ἐθνῶν καὶ πόλεων, ὅθεν, καὶ τὰ ἄλλα, ὅσα εἰς τὸ ἀρχαῖον ἀνατρέχει, καὶ κάτεισι μέχρι τῶν Τρωικῶν, καὶ ἀνδρῶν τινων πρὸς ἀλλήλους μάχας καὶ ἔργα ἐπιτρέχον καὶ τῶν ἀπὸ Τροίας πλάνας τινάς, μάλιστα δ' Ὀδυσσέως, εἰς ὃν αὐτῷ καὶ ἡ ἀρχαιολογία καταλήγει. σύνοψις δ' ἐστὶ τὰ πολλὰ τοῦ βιβλίου καὶ οὐκ ἄχρηστος τοῖς τὰ παλαιὰ ἐπὶ μνήμης ἔχειν λόγον ποιουμένοις. ἔχει δὲ καὶ ἐπίγραμμα τὸ βιβλιδάριον οὐκ ἄκομψον τόδε·

Αἰῶνος σπείρημα ἀφυσσάμενος ἀπ' ἐμεῖο
παιδείης μύθους γνῶθι παλαιγενέας
μηδ' ἐς Ὁμηρείην σελίδ' ἔμβλεπε μηδ' ἐλεγείην,
μὴ τραγικὴν Μοῦσαν μηδὲ μελογραφίην,
μὴ κυκλίων ζήτει πολύθρουν στίχον· εἰς ἐμὲ δ' ἀθρῶν
εὑρήσεις ἐν ἐμοὶ πάνθ', ὅσα κόσμος ἔχει.

Photius, *Bibliotheca*, cod. 186, p. 142 a–b (von ihm gelesene Bücher)

PHOTIOS ÜBER DIE *BIBLIOTHEKE* DES APOLLODOR

In demselben Band aber (scil. in dem ⟨ich⟩ die ›Erzählungen‹ des Konon ⟨gelesen habe⟩) las ich auch ein Büchleinchen Apollodors, eines Grammatikers; dieses trug die Überschrift ›Bibliotheke‹. Es enthielt die frühesten Meinungen der Hellenen, die die Zeit ihnen über Götter und Heroen zu glauben gegeben hat, und Benennungen von Flüssen und Ländern und Völkern und Städten, von wo ⟨sie kommen⟩, und die anderen Ereignisse, die ins Altertum hinauflaufen, und es geht bis zu den *Troika* herab, wobei ⟨das Büchleinchen⟩ sowohl die Kämpfe bestimmter Männer gegeneinander und ihre Taten durchläuft als auch bestimmte Irrfahrten der von Troia ⟨Kommenden⟩, besonders des Odysseus, mit dem es (scil. das Büchleinchen) auch die Erzählung alter Ereignisse abschließt. Das meiste ⟨vom Inhalt⟩ des Büchleins ist eine Zusammensicht, und zwar nicht unbrauchbar für diejenigen, die Wert darauf legen, die früheren Ereignisse in der Erinnerung zu haben. Das Büchleinchen hat aber auch ein nicht unelegantes Epigramm, folgendermaßen:

Den Kreis der Ewigkeit aus mir schöpfend,
lerne die früher entstandenen Mythen ⟨, die zu⟩ der Bildung ⟨gehören,⟩ kennen
und blicke nicht auf das Homerische Blatt und nicht die Elegie,
nicht die tragische Muse und nicht das Liederschreiben,
suche nicht den vieles schwatzenden Vers der Kykliker!
Auf mich schauend,
wirst du in mir alles finden, was die Welt hat.

Photius, *Bibliotheca*, cod. 186, p. 142 a–b (von ihm gelesene Bücher)

ΛΟΓΟΣ ΠΡΩΤΟΣ

Οὐρανὸς πρῶτος τοῦ παντὸς ἐδυνάστευσε κόσμου. 1
γήμας δὲ Γῆν ἐτέκνωσε πρώτους τοὺς Ἑκατόγχειρας προσαγορευθέντας, Βριάρεων, Κοῖον, Γύην, οἳ μεγέθει τε ἀνυπέρβλητοι καὶ δυνάμει καθειστήκεσαν, χεῖρας μὲν ἀνὰ ἑκατόν, κεφαλὰς δὲ ἀνὰ πεντήκοντα ἔχοντες. μετὰ τούτους δὲ αὐτῷ τεκνοῖ Γῆ Κύκλωπας, Ἄργην, Στερόπην, Βρόντην, ὧν ἕκαστος εἶχεν ἕνα ὀφθαλμὸν ἐπὶ τοῦ μετώπου. ἀλλὰ τούτους μὲν Οὐρανὸς δήσας εἰς Τάρταρον ἔρριψε (τόπος δὲ οὗτος ἐρεβώδης ἐστὶν ἐν Ἅιδου, τοσοῦτον ἀπὸ γῆς ἔχων διάστημα ὅσον ἀπ᾽ οὐρανοῦ γῆ), 2
τεκνοῖ δὲ αὖθις ἐκ Γῆς παῖδας μὲν τοὺς Τιτᾶνας προσαγορευθέντας, Ὠκεανόν, Κοῖον, Ὑπερίονα, Κρεῖον, Ἰαπετὸν καὶ νεώτατον ἁπάντων Κρόνον, θυγατέρας δὲ τὰς κληθείσας Τιτανίδας, Τηθύν, Ῥέαν, Θέμιν, Μνημοσύνην, Φοίβην, Διώνην, Θείαν.

ἀγανακτοῦσα δὲ Γῆ ἐπὶ τῇ ἀπωλείᾳ τῶν εἰς Τάρταρον 3
ῥιφέντων παίδων πείθει τοὺς Τιτᾶνας ἐπιθέσθαι τῷ πατρί, καὶ δίδωσιν ἀδαμαντίνην ἅρπην Κρόνῳ. οἱ δὲ Ὠκεανοῦ χωρὶς ἐπιτίθενται, καὶ Κρόνος ἀποτεμὼν τὰ αἰδοῖα τοῦ πατρὸς εἰς τὴν θάλασσαν ἀφίησιν. ἐκ δὲ τῶν σταλαγμῶν τοῦ ῥέοντος αἵματος Ἐρινύες ἐγένοντο, Ἀληκτώ, Τισιφόνη, Μέγαιρα. τῆς δὲ ἀρχῆς ἐκβαλόντες τούς τε καταταρταρωθέντας ἀνήγαγον ἀδελφοὺς καὶ τὴν ἀρχὴν Κρόνῳ παρέδοσαν.

ὁ δὲ τούτους μὲν ⟨ἐν⟩ τῷ Ταρτάρῳ πάλιν δήσας καθ- 4
εἶρξε, τὴν δὲ ἀδελφὴν Ῥέαν γήμας, ἐπειδὴ Γῆ τε καὶ Οὐρανὸς ἐθεσπιῴδουν αὐτῷ λέγοντες ἀπὸ παιδὸς ἰδίου τὴν ἀρχὴν ἀφαιρεθήσεσθαι, κατέπινε τὰ γεννώμενα. καὶ πρώτην μὲν γεννηθεῖσαν Ἑστίαν κατέπιεν, εἶτα Δήμητραν καὶ Ἥραν, μεθ᾽ ἃς Πλούτωνα καὶ Ποσειδῶνα. ὀρ- 5
γισθεῖσα δὲ ἐπὶ τούτοις Ῥέα παραγίνεται μὲν εἰς Κρήτην,

ERSTES BUCH

(1) Uranos hatte als erster die Macht über die ganze Welt. Er heiratete Ge und zeugte als die ersten Kinder die so bezeichneten Hekatoncheiren (›Hundertarme‹), nämlich Briareos, Koios, Gyes, die sowohl an Größe als auch an Mächtigkeit unübertroffen waren, denn sie hatten je hundert Arme und je fünfzig Köpfe. Und nach diesen zeugt Ge ihm als Kinder die Kyklopen, nämlich Arges, Steropes, Brontes, von denen jeder ein einziges Auge auf der Stirn hatte. (2) Doch diese fesselte Uranos und warf sie in den Tartaros (dies ist ein finsterer Ort im Hades, der einen so großen Abstand von der Erde hat wie vom Himmel die Erde), zeugt hinwieder Kinder mit der Erde: als Söhne die so bezeichneten Titanen, nämlich Okeanos, Koios, Hyperion, Kreios, Iapetos und als jüngsten von allen Kronos; als Töchter die sogenannten Titaninnen, nämlich Tethys, Rhea, Themis, Mnemosyne, Phoibe, Dione, Theia.

(3) Aber Ge, empört über die Beseitigung ihrer in den Tartaros geworfenen Söhne, überredet die Titanen, ihren Vater anzugreifen, und gibt die unbezwingbare Sichel dem Kronos. Die aber – außer Okeanos – greifen ihn an, und Kronos schnitt die Schamteile seines Vaters ab und schleudert sie ins Meer. Aber aus den Tropfen des fließenden Blutes entstanden die Erinyen, nämlich Alekto, Tisiphone, Megaira. Und nachdem sie ⟨Uranos⟩ aus der Herrschaft vertrieben hatten, führten sie ihre in den Tartaros hinabgeschickten Brüder wieder herauf und übergaben die Herrschaft dem Kronos.

(4) Der aber fesselte diese aufs neue und schloß sie im Tartaros ein; er heiratete aber seine Schwester Rhea. Da Ge und Uranos ihm prophezeiten, indem sie sagten, ihm werde von seinem eigenen Sohn die Herrschaft weggenommen, verschlang er die jeweils geborenen Kinder. Und als erste verschlang er nach ihrer Geburt Hestia, danach Demeter und Hera, nach diesen Pluton und Poseidon. (5) Aber grollend darüber kommt Rhea nach Kreta, als sie gerade

ὁπηνίκα τὸν Δία ἐγκυμονοῦσα ἐτύγχανε, γεννᾷ δὲ ἐν ἄντρῳ τῆς Δίκτης Δία. καὶ τοῦτον μὲν δίδωσι τρέφεσθαι Κούρησί τε καὶ ταῖς Μελισσέως παισὶ Νύμφαις, Ἀδραστείᾳ τε καὶ Ἴδῃ. αὗται μὲν οὖν τὸν παῖδα ἔτρεφον τῷ τῆς Ἀμαλθείας γάλακτι, οἱ δὲ Κούρητες ἔνοπλοι ἐν τῷ ἄντρῳ τὸ βρέφος φυλάσσοντες τοῖς δόρασι τὰς ἀσπίδας συνέκρουον, ἵνα μὴ τῆς τοῦ παιδὸς φωνῆς ὁ Κρόνος ἀκούσῃ. Ῥέα δὲ λίθον σπαργανώσασα δέδωκε Κρόνῳ καταπιεῖν ὡς τὸν γεγεννημένον παῖδα.

ἐπειδὴ δὲ Ζεὺς ἐγενήθη τέλειος, λαμβάνει Μῆτιν τὴν 6
Ὠκεανοῦ συνεργόν, ἣ δίδωσι Κρόνῳ καταπιεῖν φάρμακον, ὑφ᾽ οὗ ἐκεῖνος ἀναγκασθεὶς πρῶτον μὲν ἐξεμεῖ τὸν λίθον, ἔπειτα τοὺς παῖδας, οὓς κατέπιε· μεθ᾽ ὧν Ζεὺς τὸν πρὸς Κρόνον καὶ Τιτᾶνας ἐξήνεγκε πόλεμον. μαχομένων δὲ αὐτῶν ἐνιαυτοὺς δέκα ἡ Γῆ τῷ Διὶ ἔχρησε τὴν νίκην, τοὺς καταταρταρωθέντας ἂν ἔχῃ συμμάχους· ὁ δὲ τὴν φρουροῦσαν αὐτῶν τὰ δεσμὰ Κάμπην ἀποκτείνας ἔλυσε. καὶ Κύκλωπες τότε Διὶ μὲν διδόασι βροντὴν καὶ ἀστραπὴν 7
καὶ κεραυνόν, Πλούτωνι δὲ κυνέην, Ποσειδῶνι δὲ τρίαιναν· οἱ δὲ τούτοις ὁπλισθέντες κρατοῦσι Τιτάνων, καὶ καθείρξαντες αὐτοὺς ἐν τῷ Ταρτάρῳ τοὺς Ἑκατόγχειρας κατέστησαν φύλακας. αὐτοὶ δὲ διακληροῦνται περὶ τῆς ἀρχῆς, καὶ λαγχάνει Ζεὺς μὲν τὴν ἐν οὐρανῷ δυναστείαν, Ποσειδῶν δὲ τὴν ἐν θαλάσσῃ, Πλούτων δὲ τὴν ἐν Ἅιδου.

ἐγένοντο δὲ Τιτάνων ἔκγονοι Ὠκεανοῦ μὲν καὶ 8
Τηθύος Ὠκεανίδες [τρισχίλιαι], Ἀσία, Στύξ, Ἠλέκτρα, Δωρίς, Εὐρυνόμη, Ἀμφιτρίτη, Μῆτις, Κοίου δὲ καὶ Φοίβης Ἀστερία καὶ Λητώ, Ὑπερίονος δὲ καὶ Θείας Ἠώς, Ἥλιος, Σελήνη, Κρείου δὲ καὶ Εὐρυβίας τῆς Πόντου Ἀστραῖος, Πάλλας, Πέρσης, Ἰαπετοῦ δὲ καὶ Ἀσίας τῆς Ὠκεανοῦ Ἄτλας, ὃς ἔχει τοῖς ὤμοις τὸν οὐρανόν, καὶ Προμηθεὺς καὶ Ἐπιμηθεὺς καὶ Μενοίτιος, ὃν κεραυνώσας ἐν τῇ Τιτανομαχίᾳ Ζεὺς κατεταρτάρωσεν. ἐγένετο δὲ καὶ Κρόνου καὶ Φιλύρας Χείρων δι- 9
φυὴς Κένταυρος, Ἠοῦς δὲ καὶ Ἀστραίου Ἄνεμοι καὶ

mit Zeus schwanger war, und gebiert in einer Höhle des Dikte-Gebirges Zeus. Und diesen gibt sie zum Aufziehen den Kureten und den Töchtern des Melisseus, den Nymphen Adrasteia und Ide. Diese zogen also das Kind mit der Milch der Amaltheia auf; die Kureten aber bewachten in Waffen den Säugling in der Höhle und schlugen ständig mit den Speeren an die Schilde, damit Kronos nicht des Kindes Stimme höre. Rhea aber wickelte einen Stein in Windeln und gab ihn Kronos zum Verschlingen, als wär's das geborene Kind.

(6) Nachdem Zeus aber herangereift ist, nimmt er Metis, die Tochter des Okeanos, als seine Helferin, die Kronos ein Mittel zum Verschlingen gibt, durch das jener, gezwungen, zuerst den Stein erbricht, darauf die Kinder, die er verschlungen hatte; mit ihnen trug Zeus den Krieg gegen Kronos und die Titanen aus. Aber als sie zehn Jahre lang kämpften, weissagte Ge Zeus den Sieg, wenn er die in den Tartaros Hinabgeschickten als Mitkämpfer habe. Der aber tötete Kampe, die ihre Fesseln behütete, und löste sie ⟨aus den Fesseln⟩. (7) Und da geben die Kyklopen Zeus den Donner und den Blitz und den Wetterstrahl, Pluton die Hundsfellkappe, Poseidon den Dreizack; die aber, damit bewaffnet, überwältigen die Titanen, schlossen sie im Tartaros ein und setzten die Hekatoncheiren als Wächter ein. Sie selbst aber losen um die Herrschaft, und Zeus erlangt die Macht im Himmel, Poseidon die im Meer, Pluton die im Hades.

(8) Es kamen aber von den Titanen Nachkommen; von Okeanos und Tethys: die Okeaniden [dreitausend], nämlich Asia, Styx, Elektra, Doris, Eurynome, Amphitrite, Metis; von Koios und Phoibe: Asteria und Leto; von Hyperion und Theia: Eos, Helios, Selene; von Kreios und Eurybia, der Tochter des Pontos: Astraios, Pallas, Perses; von Iapetos und Asia, der Tochter des Okeanos: Atlas, der den Himmel mit seinen Schultern hält, und Prometheus und Epimetheus und Menoitios, den Zeus in der Titanomachie (›Titanenkampf‹) mit dem Wetterstrahl schlug und in den Tartaros hinabschickte. (9) Und es kam ferner von Kronos und Philyra Cheiron, der zweigestaltige Kentaur; von Eos und Astraios (›Sternmann‹) die Winde (Anemoi) und die Sterne (Astra); von

Ἄστρα, Πέρσου δὲ καὶ Ἀστερίας Ἑκάτη, Πάλλαντος δὲ καὶ Στυγὸς τῆς Ὠκεανοῦ Νίκη, Κράτος, Ζῆλος, Βία. τὸ δὲ τῆς Στυγὸς ὕδωρ ἐκ πέτρας ἐν Ἅιδου ῥέον Ζεὺς ἐποίησεν ὅρκον, ταύτην αὐτῇ τιμὴν διδοὺς ἀνθ' ὧν αὐτῷ κατὰ Τιτάνων μετὰ τῶν τέκνων συνεμάχησε.

Πόντου δὲ καὶ Γῆς Φόρκος, Θαύμας, Νηρεύς, Εὐρυ- 10
βία, Κητώ. Θαύμαντος μὲν οὖν καὶ Ἠλέκτρας τῆς Ὠκεανοῦ Ἶρις καὶ Ἅρπυιαι, Ἀελλώ, Ὠκυπέτη, Φόρκου δὲ καὶ Κητοῦς Φορκίδες, Γοργόνες, περὶ ὧν ἐροῦμεν, ὅταν τὰ κατὰ Περσέα λέγωμεν, Νηρέως δὲ καὶ Δωρίδος 11
τῆς Ὠκεανοῦ Νηρηίδες, ὧν τὰ ὀνόματα Κυμοθόη, Σπειώ, Γλαυκονόμη, Ναυσιθόη, Ἁλίη, Ἐρατώ, Σαώ, Ἀμφιτρίτη, Εὐνίκη, Θέτις, Εὐλιμένη, Ἀγαυή, Εὐδώρη, Δωτώ, Φέρουσα, Γαλάτεια, Ἀκταίη, Ποντομέδουσα, Ἱπποθόη, Λυσιάνασσα, Κυμώ, Ἠιόνη, Ἁλιμήδη, Πληξ- 12
αύρη, Εὐκράντη, Πρωτώ, Καλυψώ, Πανόπη, Κραντώ, Νεόμηρις, Ἱππονόη, Ἰάνειρα, Πολυνόμη, Αὐτονόη, Μελίτη, Διώνη, Νησαίη, Δηρώ, Εὐαγόρη, Ψαμάθη, Εὐμόλπη, Ἰόνη, Δυναμένη, Κητώ, Λιμνώρεια.

Ζεὺς δὲ γαμεῖ μὲν Ἥραν, καὶ τεκνοῖ Ἥβην, Εἰ- 13
λείθυιαν, Ἄρην, μίγνυται δὲ πολλαῖς θνηταῖς τε καὶ ἀθανάταις γυναιξίν. ἐκ μὲν οὖν Θέμιδος τῆς Οὐρανοῦ γεννᾷ θυγατέρας Ὥρας, Εἰρήνην, Εὐνομίαν, Δίκην, Μοίρας, Κλωθώ, Λάχεσιν, Ἄτροπον, ἐκ Διώνης δὲ Ἀφροδίτην, ἐξ Εὐρυνόμης δὲ τῆς Ὠκεανοῦ Χάριτας, Ἀγλαΐην, Εὐφροσύνην, Θάλειαν, ἐκ δὲ Στυγὸς Περσεφόνην, ἐκ δὲ Μνημοσύνης Μούσας, πρώτην μὲν Καλλιόπην, εἶτα Κλειώ, Μελπομένην, Εὐτέρπην, Ἐρατώ, Τερψιχόρην, Οὐρανίαν, Θάλειαν, Πολύμνιαν.

Καλλιόπης μὲν οὖν καὶ Οἰάγρου, κατ' ἐπίκλησιν δὲ 14
Ἀπόλλωνος, Λίνος, ὃν Ἡρακλῆς ἀπέκτεινε, καὶ Ὀρφεὺς ὁ ἀσκήσας κιθαρῳδίαν, ὃς ᾄδων ἐκίνει λίθους τε καὶ δένδρα. ἀποθανούσης δὲ Εὐρυδίκης τῆς γυναικὸς αὐτοῦ δηχθείσης ὑπὸ ὄφεως κατῆλθεν εἰς Ἅιδου θέλων ἀνάγειν αὐτήν, καὶ Πλούτωνα ἔπεισεν ἀναπέμψαι.

Perses und Asteria (›Sternfrau‹): Hekate; von Pallas und Styx, der Tochter des Okeanos: Nike (›Sieg‹), Kratos (›Stärke‹), Zelos (›Eifer‹), Bia (›Gewalt‹). Das Wasser der Styx aber, das aus einem Felsen im Hades fließt, machte Zeus zum Eid⟨garanten⟩, indem er ihr diese Ehre dafür gab, daß sie für ihn gegen die Titanen zusammen mit ihren Kindern gekämpft hatte.

(10) Von Pontos aber und Ge ⟨kamen⟩ Phorkos, Thaumas, Nereus, Eurybia, Keto. Von Thaumas nun und Elektra, der Tochter des Okeanos, ⟨kamen⟩ Iris und die Harpyien: Aëllo, Okypete; von Phorkos und Keto die Phorkiden ⟨und⟩ Gorgonen, über die wir reden werden, wenn wir die Ereignisse um Perseus besprechen; (11) von Nereus und Doris, der Tochter des Okeanos: die Nereïden, deren Namen ⟨lauten⟩: Kymothoë, Speio, Glaukonome, Nausithoë, Halië, Erato, Sao, Amphitrite, Eunike, Thetis, Eulimene, Agaue, Eudore, Doto, Pherusa, Galateia, Aktaie, Pontomedusa, Hippothoë, Lysianassa, (12) Kymo, Eïone, Halimede, Plexaure, Eukrante, Proto, Kalypso, Panope, Kranto, Neomeris, Hipponoë, Ianeira, Polynome, Autonoë, Melite, Dione, Nesaie, Dero, Euagore, Psamathe, Eumolpe, Ione, Dynamene, Keto, Limnoreia.

(13) Zeus aber heiratet Hera und zeugt als Kinder Hebe, Eileithyia, Ares; er vereinigt sich aber mit vielen sterblichen und unsterblichen Frauen. Mit Themis nun, der Tochter des Uranos, zeugt er als Töchter die Horen: Eirene, Eunomia, Dike; die Moiren: Klotho, Lachesis, Atropos; mit Dione: Aphrodite; mit Eurynome, der Tochter des Okeanos, die Chariten: Aglaïa, Euphrosyne, Thaleia; mit Styx: Persephone; mit Mnemosyne die Musen: als erste Kalliope, darauf Kleio, Melpomene, Euterpe, Erato, Terpsichore, Urania, Thaleia, Polhymnia.

(14) Von Kalliope nun und Oiagros, gemäß allgemeiner Annahme aber von Apollon, ⟨kommen⟩ Linos, den Herakles tötete, und Orpheus, der Virtuose im Gesang zur Kithara, der singend Steine und Bäume in Bewegung setzte. Als aber seine Frau Eurydike gestorben war, gebissen von einer Schlange, ging er in den Hades hinab, da er sie wieder hinaufführen wollte, und überredete Plu-

ὁ δὲ ὑπέσχετο τοῦτο ποιήσειν, ἂν μὴ πορευόμενος 15
Ὀρφεὺς ἐπιστραφῇ, πρὶν εἰς τὴν οἰκίαν αὐτοῦ παραγενέσθαι· ὁ δὲ ἀπιστῶν ἐπιστραφεὶς ἐθεάσατο τὴν γυναῖκα, ἡ δὲ πάλιν ὑπέστρεψεν. εὗρε δὲ Ὀρφεὺς καὶ τὰ Διονύσου μυστήρια, καὶ τέθαπται περὶ τὴν Πιερίαν διασπασθεὶς ὑπὸ τῶν Μαινάδων. Κλειὼ δὲ Πιέρου 16
τοῦ Μάγνητος ἠράσθη κατὰ μῆνιν Ἀφροδίτης (ὠνείδισε γὰρ αὐτῇ τὸν τοῦ Ἀδώνιδος ἔρωτα), συνελθοῦσα δὲ ἐγέννησεν ἐξ αὐτοῦ παῖδα Ὑάκινθον, οὗ Θάμυρις ὁ Φιλάμμωνος καὶ Ἀργιόπης Νύμφης ἴσχει ἔρωτα, πρῶτος ἀρξάμενος ἐρᾶν ἀρρένων. ἀλλ' Ὑάκινθον μὲν ὕστερον 17
Ἀπόλλων ἐρώμενον ὄντα δίσκῳ βαλὼν ἄκων ἀπέκτεινε, Θάμυρις δὲ κάλλει διενεγκὼν καὶ κιθαρῳδίᾳ περὶ μουσικῆς ἤρισε Μούσαις, συνθέμενος, ἂν μὲν κρείττων εὑρεθῇ, πλησιάσειν πάσαις, ἐὰν δὲ ἥττηθῇ, στερηθήσεσθαι οὗ ἂν ἐκεῖναι θέλωσι. καθυπέρτεραι δὲ αἱ Μοῦσαι γενόμεναι καὶ τῶν ὀμμάτων αὐτὸν καὶ τῆς κιθαρῳδίας ἐστέρησαν. Εὐτέρπης δὲ καὶ ποταμοῦ 18
Στρυμόνος Ῥῆσος, ὃν ἐν Τροίᾳ Διομήδης ἀπέκτεινεν· ὡς δὲ ἔνιοι λέγουσι, Καλλιόπης ὑπῆρχεν. Θαλείας δὲ καὶ Ἀπόλλωνος ἐγένοντο Κορύβαντες, Μελπομένης δὲ καὶ Ἀχελῴου Σειρῆνες, περὶ ὧν ἐν τοῖς περὶ Ὀδυσσέως ἐροῦμεν.

Ἥρα δὲ χωρὶς εὐνῆς ἐγέννησεν Ἥφαιστον· ὡς δὲ 19
Ὅμηρος λέγει, καὶ τοῦτον ἐκ Διὸς ἐγέννησε. ῥίπτει δὲ αὐτὸν ἐξ οὐρανοῦ Ζεὺς Ἥρᾳ δεθείσῃ βοηθοῦντα· ταύτην γὰρ ἐκρέμασε Ζεὺς ἐξ Ὀλύμπου χειμῶνα ἐπιπέμψασαν Ἡρακλεῖ, ὅτε Τροίαν ἑλὼν ἔπλει. πεσόντα δ' Ἥφαιστον ἐν Λήμνῳ καὶ πηρωθέντα τὰς βάσεις διέσωσε Θέτις.

μίγνυται δὲ Ζεὺς Μήτιδι, μεταβαλλούσῃ εἰς πολλὰς 20
ἰδέας ὑπὲρ τοῦ μὴ συνελθεῖν, καὶ αὐτὴν γενομένην ἔγκυον καταπίνει φθάσας, ἐπείπερ ἔλεγε γεννήσειν παῖδα

ton, sie hinaufzuschicken. (15) Der aber versprach, dies zu tun, wenn Orpheus sich unterwegs nicht umwende, bevor er in sein Haus gelangt sei; der aber wendete sich aus Mißtrauen um und schaute seine Frau an, die aber wendete sich wieder zurück. Es erfand Orpheus aber auch die Mysterien des Dionysos, und er ist begraben in der Gegend von Pierien, zerrissen von den Mainaden. (16) Kleio aber verliebte sich in Pieros, den Sohn des Magnes, gemäß dem Zorn der Aphrodite (sie hatte dieser nämlich die Liebe zu Adonis vorgeworfen), kam mit ihm zusammen und gebar von ihm den Knaben Hyakinthos, zu dem Thamyris, der Sohn des Philammon und der Nymphe Argiope, Liebe faßt, als erster damit beginnend, Männer zu lieben. (17) Doch den Hyakinthos tötete später Apollon, als er sein Geliebter war, durch einen Wurf mit dem Diskus unabsichtlich; Thamyris aber, der sich durch Schönheit und Gesang zur Kithara auszeichnete, stritt mit den Musen in der Musik, wobei er vereinbart hatte, daß er, wenn er als besser befunden würde, sich mit ihnen allen vereinen dürfe, wenn er aber verliere, dessen beraubt würde, was immer jene wünschten. Da die Musen sich aber als überlegen erwiesen, beraubten sie ihn sowohl der Augen als auch ⟨der Kunst⟩ des Gesanges zur Kithara. (18) Von Euterpe aber und dem Fluß Strymon ⟨kam⟩ Rhesos, den Diomedes in Troia tötete; wie aber einige sagen, stammte er von Kalliope. Von Thaleia aber und Apollon kamen die Korybanten; von Melpomene aber und Acheloos die Seirenen, über die wir bei den Ereignissen um Odysseus reden werden.

(19) Hera aber gebar ohne Beilager Hephaistos; wie aber Homer sagt, gebar sie auch diesen von Zeus. Zeus aber wirft ihn aus dem Himmel, weil er der gefesselten Hera zu Hilfe eilte. Denn Zeus hatte diese vom Olympos herab aufgehängt, weil sie einen Sturm gegen Herakles geschickt hatte, als er nach der Einnahme Troias dahinsegelte. Aber nachdem Hephaistos auf Lemnos niedergefallen und an den Füßen beschädigt war, rettete ihn Thetis.

(20) Es vereinigt sich aber Zeus mit Metis, obwohl sie sich in viele Formen verwandelte, um nicht mit ihm zusammenkommen zu müssen; und nachdem sie schwanger geworden war, verschlingt er sie zuvor, weil sie gesagt hatte, daß sie nach dem Mädchen, das von

μετὰ τὴν μέλλουσαν ἐξ αὐτῆς γεννᾶσθαι κόρην, ὃς οὐρανοῦ δυνάστης γενήσεται. τοῦτο φοβηθεὶς κατέπιεν αὐτήν· ὡς δ' ὁ τῆς γενέσεως ἐνέστη χρόνος, πλήξαντος αὐτοῦ τὴν κεφαλὴν πελέκει Προμηθέως ἢ καθάπερ ἄλλοι λέγουσιν Ἡφαίστου, ἐκ κορυφῆς ἐπὶ ποταμοῦ Τρίτωνος Ἀθηνᾶ σὺν ὅπλοις ἀνέθορεν.

τῶν δὲ Κοίου θυγατέρων Ἀστερία μὲν ὁμοιωθεῖσα ὄρτυγι ἑαυτὴν εἰς θάλασσαν ἔρριψε, φεύγουσα τὴν πρὸς Δία συνουσίαν· καὶ πόλις ἀπ' ἐκείνης Ἀστερία πρότερον κληθεῖσα, ὕστερον δὲ Δῆλος. Λητὼ δὲ συνελθοῦσα Διὶ κατὰ τὴν γῆν ἅπασαν ὑφ' Ἥρας ἠλαύνετο, μέχρις εἰς Δῆλον ἐλθοῦσα γεννᾷ πρώτην Ἄρτεμιν, ὑφ' ἧς μαιωθεῖσα ὕστερον Ἀπόλλωνα ἐγέννησεν. 21

Ἄρτεμις μὲν οὖν τὰ περὶ θήραν ἀσκήσασα παρθένος ἔμεινεν, Ἀπόλλων δὲ τὴν μαντικὴν μαθὼν παρὰ Πανὸς τοῦ Διὸς καὶ Θύμβρεως ἦκεν εἰς Δελφούς, χρησμῳδούσης τότε Θέμιδος· ὡς δὲ ὁ φρουρῶν τὸ μαντεῖον Πύθων ὄφις ἐκώλυεν αὐτὸν παρελθεῖν ἐπὶ τὸ χάσμα, τοῦτον ἀνελὼν τὸ μαντεῖον παραλαμβάνει. κτείνει δὲ μετ' οὐ πολὺ καὶ Τιτυόν, ὃς ἦν Διὸς υἱὸς καὶ τῆς Ὀρχομενοῦ θυγατρὸς Ἐλάρης, ἣν Ζεύς, ἐπειδὴ συνῆλθε, δείσας Ἥραν ὑπὸ γῆν ἔκρυψε, καὶ τὸν κυοφορηθέντα παῖδα Τιτυὸν ὑπερμεγέθη εἰς φῶς ἀνήγαγεν. οὗτος ἐρχομένην εἰς Πυθὼ Λητὼ θεωρήσας πόθῳ κατασχεθεὶς ἐπισπᾶται· ἡ δὲ τοὺς παῖδας ἐπικαλεῖται καὶ κατατοξεύουσιν αὐτόν. κολάζεται δὲ καὶ μετὰ θάνατον· γῦπες γὰρ αὐτοῦ τὴν καρδίαν ἐν Ἅιδου ἐσθίουσιν. 22 23

ἀπέκτεινε δὲ Ἀπόλλων καὶ τὸν Ὀλύμπου παῖδα Μαρσύαν. οὗτος γὰρ εὑρὼν αὐλούς, οὓς ἔρριψεν Ἀθηνᾶ διὰ τὸ τὴν ὄψιν αὐτῆς ποιεῖν ἄμορφον, ἦλθεν εἰς ἔριν περὶ μουσικῆς Ἀπόλλωνι. συνθεμένων δὲ αὐτῶν, ἵνα ὁ νικήσας ὃ βούλεται διαθῇ τὸν ἡττημένον, τῆς κρίσεως γινομένης τὴν κιθάραν στρέψας ἠγωνίζετο ὁ Ἀπόλλων καὶ ταὐτὸ ποιεῖν ἐκέλευσε τὸν Μαρσύαν· τοῦ δὲ ἀδυνατοῦν- 24

ihr geboren werden würde, einen Sohn gebären werde, der Machthaber des Himmels werden würde. Dies befürchtend, verschlang er sie. Als aber die Zeit der Geburt bevorstand, schlug Prometheus oder, wie andere sagen, Hephaistos mit einer Axt an seinen Kopf, und aus seinem Haupt sprang am Fluß Triton Athena mit Waffen hervor.

(21) Von den Töchtern des Koios aber machte sich Asteria einer Wachtel ähnlich und warf sich ins Meer, weil sie vor dem Zusammensein mit Zeus floh. Und eine Stadt ⟨ist⟩ nach jener zuerst Asteria benannt ⟨worden⟩, später aber Delos. Leto aber kam mit Zeus zusammen und wurde deshalb von Hera über die ganze Erde getrieben, bis sie nach Delos kam und dort als erste Artemis, später, von dieser als Hebamme entbunden, Apollon gebar.

(22) Artemis nun übte die Tierhatz aus und blieb so Jungfrau; Apollon aber lernte von Pan, dem Sohn des Zeus und der Thymbris, die Orakelkunst und kam so nach Delphi, wo damals Themis Weissagungen verkündete. Als aber die das Orakel behütende Schlange Python ihn zu hindern versuchte, an den Erdschlund heranzugehen, beseitigt er diese und übernimmt das Orakel. (23) Er tötet aber nicht lange danach auch Tityos, der ein Sohn des Zeus und der Tochter des Orchomenos, Elare, war, die Zeus, nachdem er mit ihr zusammengekommen war, aus Angst vor Hera unter der Erde verborgen hatte, und den von ihr ausgetragenen Sohn, den übergroßen Tityos, brachte er herauf ans Licht. Als dieser Leto auf ihrem Weg nach Pytho erspäht hatte, versucht er, von Verlangen ergriffen, sie an sich heranzuziehen; die aber ruft ihre Kinder herbei, und sie schießen ihn mit dem Bogen nieder. Gezüchtigt wird er aber auch noch nach dem Tod, denn Geier fressen im Hades an seinem Herzen.

(24) Es tötete aber Apollon auch den Sohn des Olympos, Marsyas. Denn dieser hatte die Flöten gefunden, die Athena weggeworfen hatte, weil sie ihr Gesicht verunstalteten, und war daher mit Apollon in einen musikalischen Wettbewerb geraten. Nachdem sie aber vereinbart hatten, daß der Sieger dem Verlierer antun dürfe, was er wolle, drehte Apollon, als die Entscheidung ausgetragen wurde, die Kithara um, bestritt den Wettkampf so und befahl Mar-

τος εὑρεθεὶς κρείσσων ὁ Ἀπόλλων κρεμάσας τὸν Μαρσύαν ἔκ τινος ὑπερτενοῦς πίτυος ἐκτεμὼν τὸ δέρμα οὕτως διέφθειρεν.

Ὠρίωνα δὲ Ἄρτεμις ἀπέκτεινεν ἐν Δήλῳ. τοῦτον γηγενῆ λέγουσιν ὑπερμεγέθη τὸ σῶμα· Φερεκύδης δὲ αὐτὸν Ποσειδῶνος καὶ Εὐρυάλης λέγει. ἐδωρήσατο δὲ αὐτῷ Ποσειδῶν διαβαίνειν τὴν θάλασσαν. οὗτος ⟨πρώτην⟩ μὲν ἔγημε Σίδην, ἣν ἔρριψεν εἰς Ἅιδου περὶ μορφῆς ἐρίσασαν Ἥρα· αὖθις δὲ ἐλθὼν εἰς Χίον Μερόπην τὴν Οἰνοπίωνος ἐμνηστεύσατο. μεθύσας δὲ Οἰνοπίων αὐτὸν κοιμώμενον ἐτύφλωσε καὶ παρὰ τοῖς αἰγιαλοῖς ἔρριψεν. ὁ δὲ ἐπὶ τὸ ⟨Ἡφαίστου⟩ χαλκεῖον ἐλθὼν καὶ ἁρπάσας παῖδα ἕνα ἐπὶ τῶν ὤμων ἐπιθέμενος ἐκέλευσε ποδηγεῖν πρὸς τὰς ἀνατολάς. ἐκεῖ δὲ παραγενόμενος ἀνέβλεψεν ἐκκαείς ὑπὸ τῆς ἡλιακῆς ἀκτῖνος καὶ διὰ ταχέων ἐπὶ τὸν Οἰνοπίωνα ἔσπευδεν. ἀλλὰ τῷ μὲν Ποσειδῶν Ἡφαιστότευκτον ὑπὸ γῆν κατεσκεύασεν οἶκον, Ὠρίωνος δ' Ἠὼς ἐρασθεῖσα ἥρπασε καὶ ἐκόμισεν εἰς Δῆλον· ἐποίει γὰρ αὐτὴν Ἀφροδίτη συνεχῶς ἐρᾶν, ὅτι Ἄρει συνευνάσθη. ὁ δ' Ὠρίων, ὡς μὲν ἔνιοι λέγουσιν, ἀνῃρέθη διασκεύειν Ἄρτεμιν προκαλούμενος, ὡς δέ τινες, βιαζόμενος Ὠπιν μίαν τῶν ἐξ Ὑπερβορέων παραγενομένων παρθένων ὑπ' Ἀρτέμιδος ἐτοξεύθη.

Ποσειδῶν δὲ Ἀμφιτρίτην τὴν Ὠκεανοῦ γαμεῖ καὶ αὐτῷ γίνεται Τρίτων καὶ Ῥόδη, ἣν Ἥλιος ἔγημε.

Πλούτων δὲ Περσεφόνης ἐρασθεὶς Διὸς συνεργοῦντος ἥρπασεν αὐτὴν κρύφα. Δημήτηρ δὲ μετὰ λαμπάδων νυκτός τε καὶ ἡμέρας κατὰ πᾶσαν τὴν γῆν ζητοῦσα περιῄει· μαθοῦσα δὲ παρ' Ἑρμιονέων, ὅτι Πλούτων αὐτὴν ἥρπασεν, ὀργιζομένη θεοῖς κατέλιπεν οὐρανόν, εἰκασθεῖσα δὲ γυναικὶ ἦκεν εἰς Ἐλευσῖνα. καὶ πρῶτον μὲν ἐπὶ τὴν ἀπ' ἐκείνης κληθεῖσαν Ἀγέλαστον ἐκάθισε

syas, dasselbe zu machen. Weil der das aber nicht vermochte und daher Apollon als der Bessere befunden wurde, hängte er Marsyas an einer überhohen Föhre auf, zog ihm durch einen Schnitt die Haut ab und vernichtete ihn auf diese Weise.

(25) Den Orion aber tötete Artemis auf Delos. Diesen nennt man einen Erdgeborenen, ⟨da er⟩ übergroß an Körper ⟨war⟩. Pherekydes aber nennt ihn einen Sohn des Poseidon und der Euryale. Poseidon aber schenkte ihm ⟨die Fähigkeit⟩, das Meer zu durchschreiten. Dieser heiratete als erste die Side, die Hera in den Hades warf, da sie mit ihr um ⟨schöne⟩ Gestalt gewetteifert hatte. Zum zweiten aber kam er nach Chios und freite um Merope, die Tochter des Oinopion. Oinopion aber machte ihn trunken, blendete ihn im Schlaf und warf ihn ans Gestade. (26) Der aber kam zur Schmiede des Hephaistos und raubte einen Knaben, setzte ihn sich auf die Schultern und befahl ihm, ihn gen Morgen zu führen. Dort angelangt, wurde er wieder sehend, erleuchtet durch den Sonnenstrahl, und eilte schnell zu Oinopion. (27) Doch dem hatte Poseidon das von Hephaistos verfertigte Haus unter der Erde eingerichtet. In Orion aber verliebte sich Eos, raubte ihn und brachte ihn nach Delos. Es bewirkte nämlich Aphrodite, daß sie fortwährend liebe, weil sie ein Beilager mit Ares gehalten hatte. Orion aber wurde, wie einige sagen, beseitigt, weil er Artemis zum Diskuswerfen herausforderte, wie aber manche ⟨sagen⟩, wurde er, weil er Opis, einer der von den Hyperboreern hergelangenden Jungfrauen, Gewalt anzutun versuchte, von Artemis mit dem Bogen erschossen.

(28) Poseidon aber heiratet Amphitrite, die Tochter des Okeanos, und ihm wird Triton geboren, und Rhode, die Helios heiratete.

(29) Pluton aber verliebte sich in Persephone und raubte sie unter Mitwirkung des Zeus heimlich. Demeter aber ging mit Fackeln nachts und tags suchend über die ganze Erde. Nachdem sie aber von den Hermioneern erfahren hatte, daß Pluton sie geraubt habe, verließ sie, den Göttern grollend, den Himmel, glich sich einer ⟨sterblichen⟩ Frau an und kam so nach Eleusis. (30) Und zuerst setzte sie sich auf den nach ihr genannten ›Felsen ohne Lachen‹ am

πέτραν παρὰ τὸ Καλλίχορον φρέαρ καλούμενον, ἔπειτα πρὸς Κελεὸν ἐλθοῦσα τὸν βασιλεύοντα τότε Ἐλευσινίων, ἔνδον οὐσῶν γυναικῶν καὶ λεγουσῶν τούτων παρ' αὐτὰς καθέζεσθαι, γραῖά τις Ἰάμβη σκώψασα τὴν θεὸν ἐποίησε μειδιᾶσαι. διὰ τοῦτο ἐν τοῖς Θεσμοφορίοις τὰς γυναῖκας σκώπτειν λέγουσιν.

ὄντος δὲ τῇ τοῦ Κελεοῦ γυναικὶ Μετανείρᾳ παιδίου τοῦτο ἔτρεφεν ἡ Δημήτηρ παραλαβοῦσα· βουλομένη δὲ αὐτὸ ἀθάνατον ποιῆσαι τὰς νύκτας εἰς πῦρ κατετίθει τὸ βρέφος καὶ περιῄρει τὰς θνητὰς σάρκας αὐτοῦ. καθ' ἡμέραν δὲ παραδόξως αὐξανομένου τοῦ Δημοφῶντος (τοῦτο γὰρ ἦν ὄνομα τῷ παιδί) ἐπετήρησεν ἡ ⟨Μετάνειρα⟩, καὶ καταλαβοῦσα εἰς πῦρ ἐγκεκρυμμένον ἀνεβόησε· διόπερ τὸ μὲν βρέφος ὑπὸ τοῦ πυρὸς ἀνηλώθη, ἡ θεὰ δὲ αὐτὴν ἐξέφηνε. Τριπτολέμῳ δὲ τῷ πρεσβυτέρῳ τῶν Μετανείρας παίδων δίφρον κατασκευάσασα πτηνῶν δρακόντων τὸν πυρὸν ἔδωκεν, ᾧ τὴν ὅλην οἰκουμένην δι' οὐρανοῦ αἰρόμενος κατέσπειρε. Πανύασις δὲ Τριπτόλεμον Ἐλευσῖνος λέγει· φησὶ γὰρ Δήμητρα πρὸς αὐτὸν ἐλθεῖν. Φερεκύδης δέ φησιν αὐτὸν Ὠκεανοῦ καὶ Γῆς. 31 32

Διὸς δὲ Πλούτωνι τὴν Κόρην ἀναπέμψαι κελεύσαντος ὁ Πλούτων, ἵνα μὴ πολὺν χρόνον παρὰ τῇ μητρὶ καταμείνῃ, ῥοιᾶς ἔδωκεν αὐτῇ φαγεῖν κόκκον. ἡ δὲ οὐ προϊδομένη τὸ συμβησόμενον κατηνάλωσεν αὐτόν. καταμαρτυρήσαντος δὲ αὐτῆς Ἀσκαλάφου τοῦ Ἀχέροντος καὶ Γοργύρας, τούτῳ μὲν Δημήτηρ ἐν Ἅιδου βαρεῖαν ἐπέθηκε πέτραν, Περσεφόνη δὲ καθ' ἕκαστον ἐνιαυτὸν τὸ μὲν τρίτον μετὰ Πλούτωνος ἠναγκάσθη μένειν, τὸ δὲ λοιπὸν παρὰ τοῖς θεοῖς. 33

περὶ μὲν οὖν Δήμητρος ταῦτα λέγεται· Γῆ δὲ περὶ Τιτάνων ἀγανακτοῦσα γεννᾷ Γίγαντας ἐξ Οὐρανοῦ, μεγέτει μὲν σωμάτων ἀνυπερβλήτους, δυνάμει δὲ ἀκαταγωνίστους, οἳ φοβεροὶ μὲν ταῖς ὄψεσι κατεφαίνοντο, καθειμένοι βαθεῖαν κόμην ἐκ κεφαλῆς καὶ γενείων, εἶχον δὲ τὰς βάσεις φολίδας δρακόντων. ἐγένοντο δέ, ὡς μέν 34

sogenannten ›Schönreigen-Brunnen‹. Darauf kam sie zu Keleos, dem damaligen König der Eleusinier; da Frauen im Haus waren und sagten, sie solle sich zu ihnen setzen, bewirkte eine Greisin, Iambe, durch Scherze, daß die Göttin lächelte. Deswegen scherzen die Frauen bei den Thesmophorien – so sagt man.

(31) Da die Frau des Keleos, Metaneira, ein Söhnchen hatte, übernahm Demeter dessen Aufzucht. Weil sie es aber unsterblich machen wollte, legte sie das Kind die Nächte über ins Feuer und entfernte so sein sterbliches Fleisch. Als aber Demophon (denn diesen Namen hatte der Sohn) von Tag zu Tag unwahrscheinlich stark wuchs, legte sich Metaneira auf die Lauer, und nachdem sie wahrgenommen hatte, daß er im Feuer verborgen war, schrie sie auf. Deswegen wurde das Kind vom Feuer verzehrt, die Göttin aber zeigte sich offen. (32) Für Triptolemos aber, den älteren der Söhne der Metaneira, richtete sie ein Zweigespann von geflügelten Drachen her und gab ihm den Weizen, mit dem er die ganze bewohnte ⟨Erde⟩, hoch durch den Himmel fahrend, besäte. Panyasis aber nennt Triptolemos einen Sohn des Eleusis; denn er behauptet, Demeter sei zu ihm gekommen. Pherekydes aber behauptet, er ⟨sei ein Sohn⟩ von Okeanos und Ge.

(33) Nachdem aber Zeus Pluton befohlen hatte, Kore emporzuschicken, gab ihr Pluton, damit sie nicht viele Zeit bei ihrer Mutter bleibe, den Kern eines Granatapfels zu essen. Da die aber nicht voraussah, was eintreten werde, verzehrte sie ihn. Weil aber Askalaphos, der Sohn des Acheron und der Gorgyra, gegen sie zeugte, legte Demeter im Hades einen schweren Felsen auf ihn. Persephone aber war gezwungen, jedes Jahr ein Drittel bei Pluton zu bleiben, den Rest aber bei den Göttern.

(34) Über Demeter nun wird dies gesagt. Ge aber, wegen der Titanen empört, gebiert von Uranos die Giganten, an Körpergröße unübertroffen, an Mächtigkeit unbezwinglich, die durch ihr Aussehen furchterregend erschienen, bewachsen mit dicht herabwallendem Haar an Kopf und Kinn; und als Füße hatten sie Drachenschuppen. Geboren wurden sie aber, wie manche sagen, in

τινες λέγουσιν, ἐν Φλέγραις, ὡς δὲ ἄλλοι, ἐν Παλλήνῃ. ἠκόντιζον δὲ εἰς οὐρανὸν πέτρας καὶ δρῦς ἡμμένας. διέφερε δὲ πάντων Πορφυρίων τε καὶ Ἀλκυονεύς, ὃς δὴ 35
καὶ ἀθάνατος ἦν ἐν ᾗπερ ἐγεννήθη γῇ μαχόμενος. οὗτος δὲ καὶ τὰς Ἡλίου βόας ἐξ Ἐρυθείας ἤλασε. τοῖς δὲ θεοῖς λόγιον ἦν ὑπὸ θεῶν μὲν μηδένα τῶν Γιγάντων ἀπολέσθαι δύνασθαι, συμμαχοῦντος δὲ θνητοῦ τινος τελευτήσειν. αἰσθομένη δὲ Γῆ τοῦτο ἐζήτει φάρμακον, ἵνα μηδ' ὑπὸ θνητοῦ δυνηθῶσιν ἀπολέσθαι. Ζεὺς δ' ἀπειπὼν φαίνειν Ἠοῖ τε καὶ Σελήνῃ καὶ Ἡλίῳ τὸ μὲν φάρμακον αὐτὸς ἔτεμε φθάσας, Ἡρακλέα δὲ σύμμαχον δι' Ἀθηνᾶς ἐπεκαλέσατο. κἀκεῖνος πρῶτον μὲν ἐτόξευσεν Ἀλκυ- 36
ονέα· πίπτων δὲ ἐπὶ τῆς γῆς μᾶλλον ἀνεθάλπετο· Ἀθηνᾶς δὲ ὑποθεμένης ἔξω τῆς Παλλήνης εἵλκυσεν αὐτόν. κἀκεῖνος μὲν οὕτως ἐτελεύτα, Πορφυρίων δὲ Ἡρακλεῖ κατὰ τὴν μάχην ἐφώρμησε καὶ Ἥρᾳ. Ζεὺς δὲ αὐτῷ πόθον Ἥρας ἐνέβαλεν, ἥτις καὶ καταρρηγνύντος αὐτοῦ τοὺς πέπλους καὶ βιάζεσθαι θέλοντος βοηθοὺς ἐπεκαλεῖτο· καὶ Διὸς κεραυνώσαντος αὐτὸν Ἡρακλῆς τοξεύσας ἀπέκτεινε. τῶν δὲ λοιπῶν Ἀπόλλων μὲν Ἐφιάλ- 37
του τὸν ἀριστερὸν ἐτόξευσεν ὀφθαλμόν, Ἡρακλῆς δὲ τὸν δεξιόν· Εὔρυτον δὲ θυρσῷ Διόνυσος ἔκτεινε, Κλυτίον δὲ δρεπάνῃ Ἑκάτη, μᾶλλον δὲ Ἥφαιστος βαλὼν μύδροις. Ἀθηνᾶ δὲ Ἐγκελάδῳ φεύγοντι Σικελίαν ἐπέρριψε τὴν νῆσον, Πάλλαντος δὲ τὴν δορὰν ἐκτεμοῦσα ταύτῃ κατὰ τὴν μάχην τὸ ἴδιον ἐσκέπετο σῶμα. Πολυ- 38
βώτης δὲ διὰ τῆς θαλάσσης διωχθεὶς ὑπὸ τοῦ Ποσειδῶνος ἦκεν εἰς Κῶ· Ποσειδῶν δὲ τῆς νήσου μέρος ἀπορρήξας ἐπέρριψεν αὐτῷ, τὸ λεγόμενον Νίσυρον. Ἑρμῆς δὲ τὴν Ἄιδος κυνῆν ἔχων κατὰ τὴν μάχην Ἱππόλυτον ἀπέκτεινεν, Ἄρτεμις δὲ Γρατίωνα, Μοῖραι δὲ Ἄγριον καὶ Θόωνα χαλκέοις ῥοπάλοις μαχομένους. τοὺς δὲ

Phlegrai, wie aber andere ⟨sagen⟩, in Pallene. Sie schleuderten aber gen Himmel Felsen und glühende Bäume. (35) Es zeichnete sich aber vor allen Porphyrion aus, und Alkyoneus, der ja auch unsterblich war, wenn er auf ⟨der Gegend⟩ der Erde, auf der er geboren war, kämpfte. Und dieser trieb auch die Rinder des Helios aus Erytheia weg. Die Götter aber hatten den Wahrspruch, daß durch die Götter keiner der Giganten zugrunde gehen könne, daß diese aber, wenn ein Sterblicher mitkämpfe, ihr Ende finden würden. Nachdem aber Ge diesen ⟨Wahrspruch⟩ vernommen hatte, suchte sie ein Mittel, damit sie auch nicht durch einen Sterblichen zugrunde zu gehen vermöchten. Zeus aber untersagte Eos (›Morgenröte‹) und Selene (›Mond‹) und Helios (›Sonne‹), zu scheinen, kam ihr beim Schneiden des Mittels selbst zuvor und rief durch Athena Herakles als Mitkämpfer herbei. (36) Und jener erschoß mit dem Bogen als ersten den Alkyoneus; als der aber auf die Erde fiel, gewann er noch mehr Lebenswärme. Auf Eingebung der Athena zog ⟨Herakles⟩ ihn aus Pallene heraus. Und jener endete so; Porphyrion aber stürmte gegen Herakles im Kampf, und gegen Hera. Zeus aber flößte ihm Verlangen nach Hera ein, die, weil er sowohl ihre Gewänder zerriß als ihr auch Gewalt anzutun wünschte, Helfer herbeirief. Und nachdem Zeus ihn mit dem Wetterstrahl getroffen hatte, tötete Herakles ihn durch einen Schuß mit dem Bogen. (37) Von den übrigen aber schoß Apollon Ephialtes mit dem Bogen ins linke Auge, Herakles ins rechte; den Eurytos aber tötete Dionysos mit dem Thyrsos, den Klytios aber Hekate mit Fackeln oder vielmehr Hephaistos, siedende Metallmassen schmetternd. Athena aber schleuderte auf den fliehenden Enkelados die Insel Sizilien, dem Pallas aber zog sie durch einen Schnitt die Haut ab und bedeckte mit dieser während des Kampfes ihren eigenen Körper. (38) Polybotes aber, wurde von Poseidon durchs Meer verfolgt, kam nach Kos; Poseidon aber riß einen Teil der Insel ab und warf diesen auf ihn, das sogenannte Nisyron. Hermes aber, der die Hundsfellkappe des Hades hatte, tötete während des Kampfes den Hippolytos, Artemis den Gration, die Moiren den Agrios und Thoon, die mit ehernen Keulen kämpften. Auf die anderen schmetterte Zeus Wetterstrahlen und vernichtete sie so. Allen

ἄλλους κεραυνοῖς Ζεὺς βαλὼν διέφθειρε· πάντας δὲ Ἡρακλῆς ἀπολλυμένους ἐτόξευσεν.

ὡς δ' ἐκράτησαν οἱ θεοὶ τῶν Γιγάντων, Γῆ μᾶλλον χο- 39
λωθεῖσα μίγνυται Ταρτάρῳ καὶ γεννᾷ Τυφῶνα ἐν Κιλικίᾳ, μεμιγμένην ἔχοντα φύσιν ἀνδρὸς καὶ θηρίου. οὗτος μὲν καὶ μεγέθει καὶ δυνάμει πάντων διήνεγκεν, ὅσους ἐγέννησε Γῆ, ἦν δὲ αὐτῷ τὰ μὲν ἄχρι μηρῶν ἄπλετον μέγεθος ἀνδρόμορφον, ὥστε ὑπερέχειν μὲν πάντων τῶν ὀρῶν, ἡ δὲ κεφαλὴ πολλάκις καὶ τῶν ἄστρων ἔψαυε· χεῖρας δὲ εἶχε τὴν μὲν ἐπὶ τὴν ἑσπέραν ἐκτεινομένην, τὴν δὲ ἐπὶ τὰς ἀνατολάς· ἐκ τούτων δὲ ἐξεῖχον ἑκατὸν κεφαλαὶ δρα-
κόντων. τὰ δὲ ἀπὸ μηρῶν σπείρας εἶχεν ὑπερμεγέθεις 40
ἐχιδνῶν, ὧν ὁλκοὶ πρὸς αὐτὴν ἐκτεινόμενοι κορυφὴν συριγμὸν πολὺν ἐξίεσαν. πᾶν δὲ αὐτοῦ τὸ σῶμα κατεπτέρωτο, αὐχμηραὶ δὲ ἐκ κεφαλῆς καὶ γενείων τρίχες ἐξηνέμωντο, πῦρ δὲ ἐδέρκετο τοῖς ὄμμασι. τοιοῦτος ὢν ὁ Τυφὼν καὶ τηλικοῦτος ἡμμένας βάλλων πέτρας ἐπ' αὐτὸν τὸν οὐρανὸν μετὰ συριγμῶν ὁμοῦ καὶ βοῆς ἐφέρετο· πολλὴν δὲ ἐκ τοῦ στόματος πυρὸς ἐξέβρασσε ζάλην. θεοὶ δ' ὡς εἶδον αὐτὸν ἐπ' οὐρανὸν ὁρμώμενον, 41
εἰς Αἴγυπτον φυγάδες ἐφέροντο, καὶ διωκόμενοι τὰς ἰδέας μετέβαλον εἰς ζῷα. Ζεὺς δὲ πόρρω μὲν ὄντα Τυφῶνα ἔβαλλε κεραυνοῖς, πλησίον δὲ γενόμενον ἀδαμαντίνῃ κατέπληττεν ἅρπῃ, καὶ φεύγοντα ἄχρι τοῦ Κασίου ὄρους συνεδίωξε· τοῦτο δὲ ὑπέρκειται Συρίας. κεῖθι δὲ αὐτὸν κατατετρωμένον ἰδὼν εἰς χεῖρας συνέ-
βαλε. Τυφὼν δὲ ταῖς σπείραις περιπλεχθεὶς κατέσχεν 42
αὐτόν, καὶ τὴν ἅρπην περιελόμενος τά τε τῶν χειρῶν καὶ ποδῶν διέτεμε νεῦρα, ἀράμενος δὲ ἐπὶ τῶν ὤμων διεκόμισεν αὐτὸν διὰ τῆς θαλάσσης εἰς Κιλικίαν καὶ παρελθὼν εἰς τὸ Κωρύκιον ἄντρον κατέθετο. ὁμοίως δὲ καὶ τὰ νεῦρα κρύψας ἐν ἄρκτου δορᾷ κεῖθι ἀπέθετο καὶ κατέστησε φύλακα Δελφύνην δράκαιναν· ἡμίθηρ δὲ ἦν αὕτη ἡ κόρη. Ἑρμῆς δὲ καὶ Αἰγίπαν ἐκκλέψαντες τὰ

aber, die zugrunde gingen, gab Herakles mit einem Bogenschuß den Rest.

(39) Nachdem aber die Götter die Giganten überwältigt hatten, ergrimmte Ge noch mehr, vereinigt sich daher mit Tartaros und gebiert in Kilikia den Typhon, der eine aus Mensch und Tier vereinigte Natur besaß. Dieser zeichnete sich sowohl durch Größe als auch Mächtigkeit vor allen aus, die Ge geboren hatte; denn er besaß ⟨von oben an⟩ bis zu den Schenkeln eine unermeßliche menschengestaltige Größe, so daß er alle Berge überragte; sein Kopf berührte oft sogar die Sterne. Und Arme besaß er, den einen – ausgestreckt – bis zum Abend, den anderen bis zum Morgen. Aus diesen ragten hundert Köpfe von Drachen heraus. (40) Von den Schenkeln an ⟨abwärts⟩ aber besaß er übergroße Windungen von Nattern, deren ausgezogene Ringe, bis zum Haupt selbst ausgestreckt, ein lautes Zischen aussandten. Sein ganzer Körper war gefiedert; struppig flatterten von Kopf und Kinn die Haare im Wind; Feuer blickte er mit den Augen. Bei derartigem Aussehen und solcher Größe schmetterte Typhon glühende Felsen gegen den Himmel selbst und eilte zugleich mit Zischen und Geschrei dahin; aus dem Mund stieß er einen großen Feuerwirbel hervor. (41) Als die Götter ihn aber gen Himmel stürmen sahen, eilten sie auf der Flucht nach Aigyptos und verwandelten, verfolgt, ihre Gestalten in Tiere. Zeus aber schmetterte auf Typhon, als er fern war, Wetterstrahlen; sobald ⟨jen⟩er aber in seine Nähe gekommen war, hieb ⟨Zeus⟩ mit der unbezwingbaren Sichel auf ihn ein und verfolgte ihn auf der Flucht bis zum Berg Kasion; dieser ragt über Syrien empor. Als er ihn aber dort verwundet gesehen hatte, wurde er mit ihm handgemein. (42) Typhon aber schlang sich mit seinen Windungen um ihn, hielt ihn fest, nahm ihm die Sichel weg und schnitt ihm die Sehnen sowohl der Arme als auch der Füße heraus; so hob er ihn auf seine Schultern und brachte ihn durchs Meer nach Kilikia; und zur Korykischen Höhle gekommen, legte er ihn nieder. Ebenso verbarg er auch die Sehnen in einem Bärenfell, legte sie dort ab und setzte als Hüter Delphyne ein, einen weiblichen Drachen; das aber war ein halbtierisches Mädchen. Hermes aber und Aigipan stahlen die Sehnen und fügten sie Zeus heimlich wieder

νεῦρα ἥρμοσαν τῷ Διὶ λαθόντες. Ζεὺς δὲ τὴν ἰδίαν ἀνα- 43
κομισάμενος ἰσχύν, ἐξαίφνης ἐξ οὐρανοῦ ἐπὶ πτηνῶν
ὀχούμενος ἵππων ἅρματι, βάλλων κεραυνοῖς ἐπ᾽ ὄρος
ἐδίωξε Τυφῶνα τὸ λεγόμενον Νῦσαν, ὅπου Μοῖραι
αὐτὸν διωχθέντα ἠπάτησαν· πεισθεὶς γὰρ, ὅτι ῥωσθήσε-
ται μᾶλλον, ἐγεύσατο τῶν ἐφημέρων καρπῶν. διόπερ
ἐπιδιωκόμενος αὖθις ἦκεν εἰς Θράκην καὶ μαχόμενος
περὶ τὸν Αἷμον ὅλα ἔβαλλεν ὄρη. τούτων δὲ ἐπ᾽ αὐτὸν 44
ὑπὸ τοῦ κεραυνοῦ πάλιν ὠθουμένων πολὺ ἐπὶ τοῦ ὄρους
ἐξέκλυσεν αἷμα· καί φασιν ἐκ τούτου τὸ ὄρος κληθῆναι
Αἷμον. φεύγειν δὲ ὁρμηθέντι αὐτῷ διὰ τῆς Σικελικῆς
θαλάσσης Ζεὺς ἐπέρριψεν Αἴτνην ὄρος ἐν Σικελίᾳ·
τοῦτο δὲ ὑπερμέγεθές ἐστιν, ἐξ οὗ μέχρι δεῦρό φασιν
ἀπὸ τῶν βληθέντων κεραυνῶν γίνεσθαι πυρὸς ἀνα-
φυσήματα.

Ἀλλὰ περὶ μὲν τούτων μέχρι τοῦ δεῦρο ἡμῖν λελέχθω· 45
Προμηθεὺς δὲ ἐξ ὕδατος καὶ γῆς ἀνθρώπους πλάσας
ἔδωκεν αὐτοῖς καὶ πῦρ, λάθρᾳ Διὸς ἐν νάρθηκι κρύψας.
ὡς δὲ ἧσθετο Ζεύς, ἐπέταξεν Ἡφαίστῳ τῷ Καυκάσῳ
ὄρει τὸ σῶμα αὐτοῦ προσηλῶσαι· τοῦτο δὲ Σκυθικὸν
ὄρος ἐστίν. ἐν δὴ τούτῳ προσηλωθεὶς Προμηθεὺς πολ-
λῶν ἐτῶν ἀριθμὸν ἐδέδετο· καθ᾽ ἑκάστην δὲ ἡμέραν
ἀετὸς ἐφιπτάμενος αὐτῷ τοὺς λοβοὺς ἐνέμετο τῶν
ἡπάτων αὐξανομένων διὰ νυκτός.

καὶ Προμηθεὺς μὲν πυρὸς κλαπέντος δίκην ἔτινε 46
ταύτην, μέχρις Ἡρακλῆς αὐτὸν ὕστερον ἔλυσεν, ὡς ἐν
τοῖς καθ᾽ Ἡρακλέα δηλώσομεν· Προμηθέως δὲ παῖς
Δευκαλίων ἐγένετο. οὗτος βασιλεύων τῶν περὶ τὴν
Φθίαν τόπων γαμεῖ Πύρραν τὴν Ἐπιμηθέως καὶ Παν-
δώρας, ἣν ἔπλασαν θεοὶ πρώτην γυναῖκα. ἐπεὶ δὲ 47
ἀφανίσαι Ζεὺς τὸ χαλκοῦν ἠθέλησε γένος, ὑποθεμένου
Προμηθέως Δευκαλίων τεκτηνάμενος λάρνακα καὶ τὰ
ἐπιτήδεια ἐνθέμενος εἰς ταύτην μετὰ Πύρρας εἰσέβη.
Ζεὺς δὲ πολὺν ὑετὸν ἀπ᾽ οὐρανοῦ χέας τὰ πλεῖστα μέρη
τῆς Ἑλλάδος κατέκλυσεν, ὥστε διαφθαρῆναι πάντας

ein. (43) Nachdem Zeus aber seine eigene Kraft wiedererlangt hatte, fuhr er plötzlich auf einem Wagen mit geflügelten Pferden vom Himmel herab, schmetterte Wetterstrahlen und verfolgte Typhon bis zu einem Berg, der Nysa genannt wird, wo die Moiren den Verfolgten täuschten; denn weil er sich hatte überreden lassen, daß er noch mehr gestärkt werden würde, kostete er von den ›Eintagsfrüchten‹. Deswegen wiederum verfolgt, kam er nach Thrake, und während er um den Haimos herum kämpfte, schmetterte er ganze Berge. (44) Da diese aber durch den Wetterstrahl auf ihn zurückgestoßen wurden, überschwemmte viel Blut den Berg; und deswegen, behauptet man, sei der Berg Haimos (›Blutberg‹) genannt worden. Als er aber losstürmte, um durch das Sizilische Meer zu fliehen, warf Zeus den Berg Aitna auf Sizilien über ihn; dieser ist übergroß, aus dem bis heute, behauptet man, von den geschmetterten Wetterstrahlen Feuerströme hervorgehen.

(45) Doch darüber soll soweit von uns gesprochen sein. – Prometheus aber formte aus Wasser und Erde Menschen und gab ihnen auch das Feuer, das er verborgen vor Zeus in einem Narthex-Stengel versteckt hatte. Sowie Zeus es aber gemerkt hatte, trug er Hephaistos auf, seinen Leib an das Kaukasos-Gebirge zu nageln; dies ist ein skythisches Gebirge. An diesem also festgenagelt, war Prometheus eine Zahl von vielen Jahren gefesselt. Jeden Tag aber flog ein Adler an ihn heran und weidete sich an den Lappen seiner Leber, die in der Nacht wieder zunahm.

(46) Und Prometheus nun bezahlte diese Strafe für den Feuerdiebstahl, bis Herakles ihn später erlöste, wie wir bei den Ereignissen um Herakles offenlegen werden. Von Prometheus aber stammte der Sohn Deukalion. Dieser herrscht als König über die Plätze um Phthia und heiratet Pyrrha, die Tochter des Epimetheus und der Pandora, die die Götter als erste Frau geformt hatten. (47) Da aber Zeus das eherne Geschlecht zu vertilgen wünschte, baute Deukalion auf Eingebung des Prometheus einen Kasten, legte das Notwendige hinein und stieg mit Pyrrha in diesen hinein. Zeus aber goß viel Wasser vom Himmel herab und überschwemmte die meisten Teile von Hellas, so daß alle Menschen vernichtet wurden,

ἀνθρώπους ὀλίγων χωρίς, οἳ συνέφυγον εἰς τὰ πλησίον ὑψηλὰ ὄρη. τότε δὲ καὶ τὰ κατὰ Θεσσαλίαν ὄρη διέστη καὶ τὰ ἐκτὸς Ἰσθμοῦ καὶ Πελοποννήσου συνεχέθη πάντα. Δευκαλίων δὲ ἐν τῇ λάρνακι διὰ τῆς θαλάσσης 48
φερόμενος ἡμέρας ἐννέα καὶ νύκτας ἴσας τῷ Παρνασῷ προσίσχει, κἀκεῖ τῶν ὄμβρων παῦλαν λαβόντων ἐκβὰς θύει Διὶ Φυξίῳ. Ζεὺς δὲ πέμψας Ἑρμῆν πρὸς αὐτὸν ἐπέτρεψεν αἰτεῖσθαι, ὅ τι βούλεται· ὁ δὲ αἱρεῖται ἀνθρώπους αὐτῷ γενέσθαι. καὶ Διὸς εἰπόντος ὑπὲρ κεφαλῆς αἴρων ἔβαλλε λίθους, καὶ οὓς μὲν ἔβαλε Δευκαλίων, ἄνδρες ἐγένοντο, οὓς δὲ Πύρρα, γυναῖκες. ὅθεν καὶ λαοὶ μεταφορικῶς ὠνομάσθησαν ἀπὸ τοῦ λᾶας ὁ λίθος.

γίνονται δὲ ἐκ Πύρρας Δευκαλίωνι παῖδες Ἕλλην 49
μὲν πρῶτος, ὃν ἐκ Διὸς γεγεννῆσθαι ⟨ἔνιοι⟩ λέγουσι, ⟨δεύτερος δὲ⟩ Ἀμφικτύων ὁ μετὰ Κραναὸν βασιλεύσας τῆς Ἀττικῆς, θυγάτηρ δὲ Πρωτογένεια, ἐξ ἧς καὶ Διὸς Ἀέθλιος. Ἕλληνος δὲ καὶ Νύμφης Ὀθρυίδος Δῶρος, Ξοῦθος, Αἴολος. αὐτὸς μὲν οὖν ἀφ᾽ αὑτοῦ τοὺς κα- 50
λουμένους Γραικοὺς προσηγόρευσεν Ἕλληνας, τοῖς δὲ παισὶν ἐμέρισε τὴν χώραν· καὶ Ξοῦθος μὲν λαβὼν τὴν Πελοπόννησον ἐκ Κρεούσης τῆς Ἐρεχθέως Ἀχαιὸν ἐγέννησε καὶ Ἴωνα, ἀφ᾽ ὧν Ἀχαιοὶ καὶ Ἴωνες καλοῦνται, Δῶρος δὲ τὴν πέραν χώραν Πελοποννήσου λαβὼν τοὺς κατοίκους ἀφ᾽ ἑαυτοῦ Δωριεῖς ἐκάλεσεν, Αἴολος 51
δὲ βασιλεύων τῶν περὶ τὴν Θεσσαλίαν τόπων τοὺς ἐνοικοῦντας Αἰολεῖς προσηγόρευσε, καὶ γήμας Ἐναρέτην τὴν Δημάχου παῖδας μὲν ἐγέννησεν ἑπτά, Κρηθέα, Σίσυφον, Ἀθάμαντα, Σαλμωνέα, Δηιόνα, Μάγνητα, Περιήρην, θυγατέρας δὲ πέντε, Κανάκην, Ἀλκυόνην, Πεισιδίκην, Καλύκην, Περιμήδην.

Περιμήδης μὲν οὖν καὶ Ἀχελῴου Ἱπποδάμας καὶ 52
Ὀρέστης, Πεισιδίκης δὲ καὶ Μυρμιδόνος Ἄντιφος καὶ Ἄκτωρ. Ἀλκυόνην δὲ Κῆυξ ἔγημεν Ἑωσφόρου παῖς. οὗτοι δὲ δι᾽ ὑπερηφάνειαν ἀπώλοντο· ὁ μὲν γὰρ τὴν γυ-

außer wenigen, die auf die nahen hohen Berge geflohen waren. Damals traten auch die Berge in Thessalien auseinander, und alles außerhalb des Isthmos und der Peloponnes wurde überflutet. (48) Deukalion aber, der in dem Kasten neun Tage und die gleiche Zahl von Nächten durch das Meer dahingetragen wird, hält auf den Parnasos zu und steigt dort, nachdem die Regenfälle ein Ende genommen haben, aus und opfert dem Zeus Phyxios (›Fluchthelfer‹). Zeus aber schickt Hermes zu ihm und gewährt ihm, sich zu erbitten, was immer er wolle; der aber wählt sich, daß ihm Menschen werden sollten. Und auf die Weisung des Zeus hin hob er Steine über den Kopf und warf sie ⟨nach hinten⟩, und die, die Deukalion geworfen hatte, wurden zu Männern, die aber Pyrrha ⟨geworfen hatte⟩, zu Frauen. Daher wurden auch die Felsker (*laoí*, ›Völker‹) in übertragenem Sinn benannt, von ›Fels‹ (*láas*, ›der Stein‹).

(49) Geboren werden aber dem Deukalion von Pyrrha Söhne: Hellen als erster, von dem einige sagen, daß er von Zeus gezeugt sei; als zweiter Amphiktyon, der nach Kranaos König über Attika war; die Tochter Protogeneia, von der und von Zeus Aëthlios ⟨stammt⟩. Von Hellen aber und einer Nymphe des Othrys ⟨stammen⟩ Doros, Xuthos, Aiolos. (50) ⟨Hellen⟩ selbst nun bezeichnete nach sich die sogenannten Graiker als Hellenen; unter seine Söhne aber teilte er das Land auf: Und Xuthos erhielt die Peloponnes und zeugte mit Kreusa, der Tochter des Erechtheus, den Achaios und Ion, nach denen die Achaier und Ionier benannt werden; Doros aber erhielt das Land jenseits der Peloponnes und benannte die Bewohner nach sich Dorer; (51) Aiolos aber herrschte als König über die Plätze in Thessalien, bezeichnete die Einwohner als Aioler, heiratete Enarete, die Tochter des Deïmachos, und zeugte sieben Söhne, nämlich Kretheus, Sisyphos, Athamas, Salmoneus, Deïon, Magnes, Perieres, und fünf Töchter, nämlich Kanake, Alkyone, Peisidike, Kalyke, Perimede.

(52) Von Perimede nun und Acheloos ⟨stammen⟩ Hippodamas und Orestes; von Peisidike aber und Myrmidon Antiphos und Aktor. Die Alkyone aber heiratete Keyx, der Sohn des Heosphoros. Diese aber gingen durch ihre Überheblichkeit zugrunde. Denn er

ναῖκα ἔλεγεν Ἥραν, ἡ δὲ τὸν ἄνδρα Δία, Ζεὺς δὲ αὐτοὺς ἀπωρνέωσε, καὶ τὴν μὲν ἀλκυόνα ἐποίησε, τὸν δὲ κήυκα.

Κανάκη δὲ ἐγέννησεν ἐκ Ποσειδῶνος Ὁπλέα καὶ 53
Νιρέα καὶ Ἐπωπέα καὶ Ἀλωέα καὶ Τρίοπα. Ἀλωεὺς μὲν οὖν ἔγημεν Ἰφιμέδειαν τὴν Τρίοπος, ἥτις Ποσειδῶνος ἠράσθη, καὶ συνεχῶς φοιτῶσα ἐπὶ τὴν θάλασσαν χερσὶν ἀρυομένη τὰ κύματα τοῖς κόλποις ἐνεφόρει. συνελθὼν δὲ αὐτῇ Ποσειδῶν δύο ἐγέννησε παῖδας, Ὦτον καὶ Ἐφιάλτην, τοὺς Ἀλωάδας λεγομένους. οὗτοι κατ᾽ ἐνιαυ- 54
τὸν ηὔξανον πλάτος μὲν πηχυαῖον, μῆκος δὲ ὀργυαῖον· ἐννέα δὲ ἐτῶν γενόμενοι καὶ τὸ μὲν πλάτος πηχῶν ἔχοντες ἐννέα, τὸ δὲ μέγεθος ὀργυιῶν ἐννέα πρὸς θεοὺς μάχεσθαι διενοοῦντο καὶ τὴν μὲν Ὄσσαν ἐπὶ τὸν Ὄλυμπον ἔθεσαν, ἐπὶ δὲ τὴν Ὄσσαν θέντες τὸ Πήλιον διὰ τῶν ὀρῶν τούτων ἠπείλουν εἰς οὐρανὸν ἀναβήσεσθαι, καὶ τὴν μὲν θάλασσαν χώσαντες τοῖς ὄρεσι ἐκποιήσειν ἔλεγον ἤπειρον, τὴν δὲ γῆν θάλασσαν. ἐμνῶντο δὲ Ἐφιάλ- 55
της μὲν Ἥραν, Ὦτος δὲ Ἄρτεμιν. ἔδησαν δὲ καὶ Ἄρην. τοῦτον μὲν οὖν Ἑρμῆς ἐξέκλεψεν, ἀνεῖλε δὲ τοὺς Ἀλωάδας ἐν Νάξῳ Ἄρτεμις δι᾽ ἀπάτης· ἀλλάξασα γὰρ τὴν ἰδέαν εἰς ἔλαφον διὰ μέσων αὐτῶν ἐπήδησεν, οἱ δὲ βουλόμενοι εὐστοχῆσαι τοῦ θηρίου ἐφ᾽ ἑαυτοὺς ἠκόντισαν.

Καλύκης δὲ καὶ Αἰθλίου παῖς Ἐνδυμίων γίνεται, ὅσ- 56
τις ἐκ Θεσσαλίας Αἰολέας ἀγαγὼν Ἦλιν ᾤκισε. λέγουσι δὲ αὐτόν τινες ἐκ Διὸς γενέσθαι. τούτου κάλλει διενεγκόντος ἠράσθη Σελήνη, Ζεὺς δὲ αὐτῷ δίδωσιν ὃ βούλεται ἑλέσθαι· ὁ δὲ αἱρεῖται κοιμᾶσθαι διὰ παντὸς ἀθάνατος καὶ ἀγήρως μένων.

Ἐνδυμίωνος δὲ καὶ Νηίδος Νύμφης, ἢ ὥς τινες Ἰφι- 57
ανάσσης, Αἰτωλός, ὃς ἀποκτείνας Ἄπιν τὸν Φορωνέως καὶ φυγὼν εἰς τὴν Κουρήτιδα χώραν, κτείνας τοὺς ὑποδεξαμένους Φθίας καὶ Ἀπόλλωνος υἱούς, Δῶρον καὶ Λαόδοκον καὶ Πολυποίτην, ἀφ᾽ ἑαυτοῦ τὴν χώραν Αἰτωλίαν ἐκάλεσεν.

Αἰτωλοῦ δὲ καὶ Προνόης τῆς Φόρβου Πλευρὼν καὶ 58

nannte seine Frau ›Hera‹, sie aber ihren Mann ›Zeus‹; Zeus aber verwandelte diese in Vögel, und zwar machte er sie zu einem Eisvogel (*alkyon*), ihn aber zu einer Seeschwalbe (*keyx*).

(53) Kanake aber gebar von Poseidon den Hopleus und Nireus und Epopeus und Aloeus und Triops. Aloeus nun heiratete Iphimedeia, die Tochter des Triops, die sich in Poseidon verliebt hatte, fortdauernd zum Meer ging, mit den Händen die Wogen schöpfte und sie in ihrem Schoß trug. Poseidon aber kam mit ihr zusammen und zeugte zwei Söhne, nämlich Otos und Ephialtes, die sogenannten Aloaden. (54) Diese nahmen jährlich an Breite eine Elle, an Länge aber einen Klafter zu. Als sie aber neun Jahre alt waren und eine Breite von neun Ellen, aber eine Größe von neun Klaftern hatten, sannen sie darauf, gegen die Götter zu kämpfen, und setzten den Ossa auf den Olympos; nachdem sie aber auf den Ossa den Pelion gesetzt hatten, drohten sie, durch diese Berge in den Himmel emporzusteigen, und sagten, daß sie das Meer mit den Bergen zuschütten und so zum Festland machen würden, die Erde aber zum Meer. (55) Es freiten aber Ephialtes um Hera, Otos um Artemis. Sie fesselten aber auch Ares. Diesen nun stahl Hermes heraus, die Aloaden aber tötete Artemis auf Naxos durch eine Täuschung. Denn sie änderte ihre Gestalt in eine Hindin und sprang mitten zwischen ihnen durch; als die aber das Tier treffen wollten, schleuderten sie ihre Speere auf sich selbst.

(56) Von Kalyke aber und Aëthlios stammt als Sohn Endymion, der die Aioler aus Thessalien führte und Elis besiedelte. Es sagen aber manche, er stamme von Zeus. In diesen, der sich durch Schönheit auszeichnete, verliebte sich Selene. Zeus aber gibt ihm ⟨die Möglichkeit⟩, was er wolle, zu wählen; der aber wählt, allzeit zu schlafen, todlos und alterslos bleibend.

(57) Von Endymion aber und einer Naiaden-Nymphe oder, wie manche sagen, von Iphianassa, ⟨stammt⟩ Aitolos, der Apis, den Sohn des Phoroneus, tötete und ins Kuretische Land floh. Dort tötete er die Söhne der Phthia und des Apollon, die ihn aufgenommen hatten, nämlich Doros und Laodokos und Polypoites, und nannte das Land nach sich Aitolien.

(58) Von Aitolos aber und Pronoë, der Tochter des Phorbos,

Καλυδὼν ἐγένοντο, ἀφ᾽ ὧν αἱ ἐν Αἰτωλίᾳ πόλεις ὠνομάσθησαν. Πλευρὼν μὲν οὖν γήμας Ξανθίππην τὴν Δώρου παῖδα ἐγέννησεν Ἀγήνορα, θυγατέρας δὲ Στερόπην καὶ Στρατονίκην καὶ Λαοφόντην· Καλυδῶνος δὲ καὶ Αἰ- 59
ολίας τῆς Ἀμυθάονος Ἐπικάστη, Πρωτογένεια, ἐξ ἧς καὶ Ἄρεος Ὄξυλος. Ἀγήνωρ δὲ ὁ Πλευρῶνος γήμας Ἐπικάστην τὴν Καλυδῶνος ἐγέννησε Πορθάονα καὶ Δημονίκην, ἧς καὶ Ἄρεος Εὔηνος, Μῶλος, Πύλος, Θέστιος.

Εὔηνος μὲν οὖν ἐγέννησε Μάρπησσαν, ἣν Ἀπόλ- 60
λωνος μνηστευομένου Ἴδας ὁ Ἀφαρέως ἥρπασε λαβὼν παρὰ Ποσειδῶνος ἅρμα ὑπόπτερον. διώκων δὲ Εὔηνος ἐφ᾽ ἅρματος ἐπὶ τὸν Λυκόρμαν ἦλθε ποταμόν, καταλαβεῖν δ᾽ οὐ δυνάμενος τοὺς μὲν ἵππους ἀπέσφαξεν, ἑαυτὸν δ᾽ εἰς τὸν ποταμὸν ἔβαλε· καὶ καλεῖται Εὔηνος ὁ ποταμὸς ἀπ᾽ ἐκείνου. Ἴδας δὲ εἰς Μεσσήνην παραγίνεται 61
καὶ αὐτῷ ὁ Ἀπόλλων περιτυχὼν ἀφαιρεῖται τὴν κόρην. μαχομένων δὲ αὐτῶν περὶ τῶν τῆς παιδὸς γάμων Ζεὺς διαλύσας ἐπέτρεψεν αὐτῇ τῇ παρθένῳ ἑλέσθαι, ὁποτέρῳ βούλεται συνοικεῖν· ἡ δὲ δείσασα, ὡς ἂν μὴ γηρῶσαν αὐτὴν Ἀπόλλων καταλίπῃ, τὸν Ἴδαν εἵλετο ἄνδρα.

Θεστίῳ δὲ ἐξ Εὐρυθέμιδος τῆς Κλεοβοίας ἐγένοντο 62
θυγατέρες μὲν Ἀλθαία, Λήδα, Ὑπερμνήστρα, ἄρρενες δὲ Ἴφικλος, Εὔιππος, Πλήξιππος, Εὐρύπυλος.

Πορθάονος δὲ καὶ Εὐρύτης ⟨τῆς⟩ Ἱπποδάμαντος 63
ἐγένοντο παῖδες Οἰνεύς, Ἄγριος, Ἀλκάθοος, Μέλας, Λευκωπεύς, θυγάτηρ δὲ Στερόπη, ἐξ ἧς καὶ Ἀχελῴου Σειρῆνας γενέσθαι λέγουσιν.

Οἰνεὺς δὲ βασιλεύων Καλυδῶνος παρὰ Διονύσου φυ- 64
τὸν ἀμπέλου πρῶτος ἔλαβε. γήμας δὲ Ἀλθαίαν τὴν Θεστίου γεννᾷ Τοξέα, ὃν αὐτὸς ἔκτεινεν ὑπερπηδήσαντα τὴν τάφρον, καὶ παρὰ τοῦτον Θυρέα καὶ Κλύμενον καὶ θυγατέρα Γόργην, ἣν Ἀνδραίμων ἔγημε, καὶ Δηιάνειραν, ἣν Ἀλθαίαν λέγουσιν ἐκ Διονύσου γεννῆσαι. αὕτη δ᾽ ἡνιόχει καὶ τὰ κατὰ πόλεμον ἤσκει, καὶ περὶ τῶν

stammten Pleuron und Kalydon, nach denen die Städte in Aitolien bezeichnet wurden. Pleuron nun heiratete Xanthippe, die Tochter des Doros, und zeugte den Sohn Agenor, aber die Töchter Sterope und Stratonike und Laophonte. (59) Von Kalydon aber und Aiolia, der Tochter des Amythaon, ⟨stammten⟩ Epikaste ⟨und⟩ Protogeneia, von der und von Ares Oxylos ⟨stammt⟩. Agenor aber, der Sohn des Pleuron, heiratete Epikaste, die Tochter des Kalydon, und zeugte Porthaon und Demonike, von der und von Ares Euenos, Molos, Pylos, Thestios ⟨stammen⟩.

(60) Euenos nun zeugte Marpessa, die, als Apollon um sie freite, Idas, der Sohn des Aphareus, raubte, der von Poseidon einen geflügelten Wagen bekommen hatte. Es verfolgte ihn aber Euenos zu Wagen und kam zum Fluß Lykormas; da er sie aber nicht einzuholen vermochte, schlachtete er seine Pferde ab und stürzte sich in den Fluß. Und nach jenem wird der Fluß Euenos genannt. (61) Idas aber gelangt nach Messene, und auf ihn trifft Apollon und versucht, ihm das Mädchen wegzunehmen. Als sie aber um die Heirat mit der Tochter kämpften, trennte Zeus sie und gestattete der Jungfrau selbst, zu wählen, mit welchem von beiden sie zusammenwohnen wolle. Da die aber fürchtete, daß Apollon sie, wenn sie altere, verlasse, wählte sie Idas zum Mann.

(62) Dem Thestios aber wurden von Eurythemis, der Tochter der Kleoboia, die Töchter Althaia, Leda, Hypermnestra, aber die männlichen Nachkommen Iphiklos, Euippos, Plexippos, Eurypylos geboren.

(63) Von Porthaon aber und Euryte, der Tochter des Hippodamas, stammten die Söhne Oineus, Agrios, Alkathoos, Melas, Leukopeus, aber die Tochter Sterope, von der und von Acheloos die Seirenen stammen, wie man sagt.

(64) Oineus (›Weinmann‹) aber, der als König über Kalydon regierte, empfing von Dionysos als erster das Gewächs einer Rebe. Er heiratete aber Althaia, die Tochter des Thestios, und zeugt den Toxeus, den er selbst tötete, weil er den Graben übersprungen hatte, und neben diesem den Thyreus und Klymenos und die Tochter Gorge, die Andraimon heiratete, und Deïaneira, von der man sagt, daß Althaia sie von Dionysos geboren habe. Diese aber lenkte den

γάμων αὐτῆς Ἡρακλῆς πρὸς Ἀχελῷον ἐπάλαισεν. ἐγέν- 65
νησε δὲ Ἀλθαία παῖδα ἐξ Οἰνέως Μελέαγρον, ὃν ἐξ
Ἄρεος γεγεννῆσθαί φασι. τούτου δ᾽ ὄντος ἡμερῶν ἑπτὰ
παραγενομένας τὰς Μοίρας φασὶν εἰπεῖν, ⟨ὅτι⟩ τότε τε-
λευτήσει Μελέαγρος, ὅταν ὁ καιόμενος ἐπὶ τῆς ἐσχάρας
δαλὸς κατακαῇ. τοῦτο ἀκούσασα τὸν δαλὸν ἀνείλετο
Ἀλθαία καὶ κατέθετο εἰς λάρνακα. Μελέαγρος δὲ ἀνὴρ
ἄτρωτος καὶ γενναῖος γενόμενος τόνδε τὸν τρόπον ἐτε-
λεύτησεν. ἐτησίων καρπῶν ἐν τῇ χώρᾳ γενομένων τὰς 66
ἀπαρχὰς Οἰνεὺς θεοῖς πᾶσι θύων μόνης Ἀρτέμιδος ἐξε-
λάθετο. ἡ δὲ μηνίσασα κάπρον ἐφῆκεν ἔξοχον μεγέθει τε
καὶ ῥώμῃ, ὃς τήν τε γῆν ἄσπορον ἐτίθει καὶ τὰ βοσκή-
ματα καὶ τοὺς ἐντυγχάνοντας διέφθειρεν. ἐπὶ τοῦτον
τὸν κάπρον τοὺς ἀρίστους ἐκ τῆς Ἑλλάδος πάντας συν-
εκάλεσε καὶ τῷ κτείναντι τὸν θῆρα τὴν δορὰν δώσειν
ἀριστεῖον ἐπηγγείλατο. οἱ δὲ συνελθόντες ἐπὶ τὴν τοῦ 67
κάπρου θήραν ἦσαν οἵδε· Μελέαγρος Οἰνέως, Πύλος
Ἄρεος, ἐκ Καλυδῶνος οὗτοι, Ἴδας καὶ Λυγκεὺς Ἀφα-
ρέως ἐκ Μεσσήνης, Κάστωρ καὶ Πολυδεύκης Διὸς καὶ
Λήδας ἐκ Λακεδαίμονος, Θησεὺς Αἰγέως ἐξ Ἀθηνῶν,
Ἄδμητος Φέρητος ἐκ Φερῶν, Ἀγκαῖος ⟨καὶ⟩ Κηφεὺς
Λυκούργου ἐξ Ἀρκαδίας, Ἰάσων Αἴσονος ἐξ Ἰωλκοῦ, 68
Ἰφικλῆς Ἀμφιτρύωνος ἐκ Θηβῶν, Πειρίθους Ἰξίονος ἐκ
Λαρίσης, Πηλεὺς Αἰακοῦ ἐκ Φθίας, Τελαμὼν Αἰακοῦ ἐκ
Σαλαμῖνος, Εὐρυτίων Ἄκτορος ἐκ Φθίας, Ἀταλάντη
Σχοινέως ἐξ Ἀρκαδίας, Ἀμφιάραος Οἰκλέους ἐξ Ἄρ-
γους· μετὰ τούτων καὶ οἱ Θεστίου παῖδες. συνελθόντας 69
δὲ αὐτοὺς Οἰνεὺς ἐπὶ ἐννέα ἡμέρας ἐξένισε· τῇ δεκάτῃ δὲ
Κηφέως καὶ Ἀγκαίου καί τινων ἄλλων ἀπαξιούντων
μετὰ γυναικὸς ἐπὶ τὴν θήραν ἐξιέναι, Μελέαγρος ἔχων
γυναῖκα Κλεοπάτραν τὴν Ἴδα καὶ Μαρπήσσης θυ-
γατέρα, βουλόμενος δὲ καὶ ἐξ Ἀταλάντης τεκνοποιήσα-

Wagen und übte das Kriegshandwerk aus, und um die Heirat mit ihr rang Herakles gegen Acheloos. (65) Es gebar aber Althaia als Sohn von Oineus den Meleagros, von dem man behauptet, daß er von Ares gezeugt worden sei. Als dieser aber sieben Tage alt war, hätten sich, behauptet man, die Moiren eingestellt und gesagt, daß Meleagros dann ⟨sein Leben⟩ beenden werde, wenn das auf dem Herd brennende Scheit niedergebrannt sei. Sobald sie das gehört hatte, nahm Althaia das Scheit auf und legte es in einem Kasten nieder. Meleagros aber, der ein unverwundbarer und gewandter Mann geworden war, beendete auf folgende Weise ⟨sein Leben⟩: (66) Sobald die jährlichen Früchte auf dem Lande herangewachsen waren, opferte Oineus die Erstlinge den Göttern in ihrer Gesamtheit; allein Artemis vergaß er. Die aber geriet in Zorn und sandte daher einen Eber, ausnehmend durch Größe und Stärke, der sowohl das Besäen der Erde unmöglich machte als auch das Weidevieh und jeden, der ihm begegnete, vernichtete. Gegen diesen Eber rief er die Besten aus Hellas in ihrer Gesamtheit zusammen und verhieß, demjenigen, der das Tier töte, das Fell als Bestenprämie zu geben. (67) Diejenigen aber, die zur Tierhatz auf den Eber zusammenkamen, waren folgende: Meleagros, des Oineus Sohn, Pylos, des Ares Sohn, diese aus Kalydon; Idas und Lynkeus, des Aphareus Söhne, aus Messene; Kastor und Polydeukes, des Zeus und der Leda Söhne, aus Lakedaimon; Theseus, des Aigeus Sohn, aus Athen; Admetos, des Pheres Sohn, aus Pherai; Ankaios und Kepheus, des Lykurgos Söhne, aus Arkadien; (68) Iason, des Aison Sohn, aus Iolkos; Iphikles, des Amphitryon Sohn, aus Theben; Peirithus, des Ixion Sohn, aus Larisa; Peleus, des Aiakos Sohn, aus Phthia; Telamon, des Aiakos Sohn, aus Salamis; Eurytion, des Aktor Sohn, aus Phthia; Atalante, des Schoineus Tochter, aus Arkadien; Amphiaraos, des Oïkles Sohn, aus Argos; mit diesen auch die Söhne des Thestios. (69) Nachdem sie aber zusammengekommen waren, bewirtete Oineus sie über neun Tage hin gastlich; am zehnten aber erachteten es Kepheus und Ankaios und manche andere für ihrer unwürdig, mit einer Frau auf die Tierhatz auszugehen; doch Meleagros, der Kleopatra, die Tochter des Idas und der Marpessa, zur Frau hatte, aber auch mit Atalante Kinder zeugen

σθαι, συνηνάγκασεν αὐτοὺς ἐπὶ τὴν θήραν μετὰ ταύτης ἐξιέναι. περιστάντων δὲ αὐτῶν τὸν κάπρον Πύλος μὲν καὶ Ἀγκαῖος ὑπὸ τοῦ θηρὸς διεφθάρησαν, Εὐρυτίωνα δὲ Πηλεὺς ἄκων κατηκόντισε. τὸν δὲ κάπρον πρώτη μὲν Ἀταλάντη εἰς τὰ νῶτα ἐτόξευσε, δεύτερος δὲ Ἀμφιάραος εἰς τὸν ὀφθαλμόν· Μελέαγρος δὲ αὐτὸν εἰς τὸν κενεῶνα πλήξας ἀπέκτεινε καὶ λαβὼν τὸ δέρας ἔδωκεν Ἀταλάντῃ. οἱ δὲ Θεστίου παῖδες, ἀδοξοῦντες, εἰ παρόντων ἀνδρῶν γυνὴ τὰ ἀριστεῖα λήψεται, τὸ δέρας αὐτῇ ἀφείλοντο, κατὰ γένος αὑτοῖς προσήκειν λέγοντες, εἰ Μελέαγρος λαμβάνειν μὴ προαιροῖτο. ὀργισθεὶς δὲ Μελέαγρος τοὺς μὲν Θεστίου παῖδας ἀπέκτεινε, τὸ δὲ δέρας ἔδωκε τῇ Ἀταλάντῃ. Ἀλθαία δὲ λυπηθεῖσα ἐπὶ τῇ τῶν ἀδελφῶν ἀπωλείᾳ τὸν δαλὸν ἧψε καὶ ὁ Μελέαγρος ἐξαίφνης ἀπέθανεν. 70 71

οἱ δέ φασιν οὐχ οὕτω Μελέαγρον τελευτῆσαι, ἀμφισβητούντων δὲ τῆς θήρας τῶν Θεστίου παίδων ὡς Ἰφίκλου πρώτου βαλόντος, Κούρησι καὶ Καλυδωνίοις πόλεμον ἐνστῆναι, ἐξελθόντος δὲ Μελεάγρου καί τινας τῶν Θεστίου παίδων φονεύσαντος Ἀλθαίαν ἀράσασθαι κατ' αὐτοῦ· τὸν δὲ ὀργιζόμενον οἴκοι μένειν. ἤδη δὲ τῶν πολεμίων τοῖς τείχεσι προσπελαζόντων καὶ τῶν πολιτῶν ἀξιούντων μεθ' ἱκετηρίας βοηθεῖν, μόλις πεισθέντα ὑπὸ τῆς γυναικὸς ἐξελθεῖν καὶ τοὺς λοιποὺς κτείναντα τῶν Θεστίου παίδων ἀποθανεῖν μαχόμενον. μετὰ δὲ τὸν Μελεάγρου θάνατον Ἀλθαία καὶ Κλεοπάτρα ἑαυτὰς ἀνήρτησαν, αἱ δὲ θρηνοῦσαι τὸν νεκρὸν γυναῖκες ἀπωρνεώθησαν. 72 73

Ἀλθαίας δὲ ἀποθανούσης ἔγημεν Οἰνεὺς Περίβοιαν τὴν Ἱππονόου. ταύτην δὲ ὁ μὲν γράψας τὴν Θηβαΐδα πολεμηθείσης Ὠλένου λέγει λαβεῖν Οἰνέα γέρας, Ἡσίοδος δὲ ἐξ Ὠλένου τῆς Ἀχαΐας, ἐφθαρμένην ὑπὸ Ἱπποστράτου τοῦ Ἀμαρυγκέως, Ἱππόνουν τὸν πατέρα πέμψαι πρὸς Οἰνέα πόρρω τῆς Ἑλλάδος ὄντα, ἐντειλάμενον ἀποκτεῖναι. εἰσὶ δὲ οἱ λέγοντες Ἱππόνουν ἐπιγνόντα τὴν 74 75

wollte, zwang sie, auf die Tierhatz mit dieser auszugehen. (70) Als sie aber den Eber umstellt hatten, wurden Pylos und Ankaios von dem Tier vernichtet; den Eurytion aber streckte Peleus unabsichtlich mit der Lanze nieder. Dem Eber aber schoß als erste Atalante mit ihrem Bogen in den Rücken, als zweiter Amphiaraos ins Auge; Meleagros aber, der ihn in die Weichen getroffen hatte, tötete ihn, erhielt das Fell und gab es Atalante. (71) Die Söhne des Thestios aber, die es für ehrlos ansahen, wenn in Gegenwart von Männern eine Frau die Bestenprämien erhalte, nahmen ihr das Fell weg, wobei sie sagten, daß es gemäß der Abstammung ihnen zukomme, wenn Meleagros es nicht vorziehe, es zu erhalten. Aber in Groll geraten, tötete Meleagros die Söhne des Thestios und gab das Fell Atalante. Althaia aber, in Betrübnis geraten über den Verlust ihrer Brüder, zündete das Scheit an, und Meleagros starb plötzlich.

(72) Andere aber behaupten, Meleagros habe nicht so ⟨sein Leben⟩ beendet, sondern als die Söhne des Thestios die Tierhatz anzweifelten, da Iphiklos als erster getroffen habe, sei Feindseligkeit zwischen den Kureten und Kalydoniern ausgebrochen; und nachdem Meleagros ausgezogen sei und manche der Söhne des Thestios ermordet habe, habe Althaia einen Fluch gegen ihn ausgesprochen; der aber sei grollend zu Hause geblieben. (73) Als sich aber die Feinde schon den Mauern näherten und die Bürger mit Bittflehen forderten, daß er zu Hilfe eile, sei er, mit Mühe von seiner Frau überredet, ausgezogen, habe die übrigen der Söhne des Thestios getötet und kämpfend den Tod gefunden. Nach dem Tod des Meleagros aber erhängten sich Althaia und Kleopatra, die Frauen aber, die den Leichnam beklagten, wurden zu Vögeln.

(74) Als Althaia aber den Tod gefunden hatte, heiratete Oineus Periboia, die Tochter des Hipponoos. Diese habe, sagt der Verfasser der ›Thebaïs‹, Oineus nach den Feindseligkeiten gegen Olenos als Ehrengeschenk erhalten, Hesiod aber ⟨sagt⟩, aus Olenos in Achaïa habe – nachdem sie von Hippostratos, dem Sohn des Amarynkeus, geschändet worden sei – ihr Vater Hipponus sie zu Oineus geschickt, der sich fern in Hellas befand, mit dem Auftrag, sie zu töten. (75) Es gibt aber welche, die sagen, Hipponus habe erfahren,

ἰδίαν θυγατέρα ἐφθαρμένην ὑπὸ Οἰνέως ἔγκυον αὐτὴν πρὸς τοῦτον ἀποπέμψαι. ἐγεννήθη δὲ ἐκ ταύτης Οἰνεῖ Τυδεύς. Πείσανδρος δὲ αὐτὸν ἐκ Γόργης γενέσθαι λέγει· τῆς γὰρ θυγατρὸς Οἰνέα κατὰ τὴν βούλησιν Διὸς ἐρασθῆναι.

Τυδεὺς δὲ ἀνὴρ γενόμενος γενναῖος ἐφυγαδεύδη 76
κτείνας, ὡς μέν τινες λέγουσιν, ἀδελφὸν Οἰνέως Ἀλκάθοον, ὡς δὲ ὁ τὴν Ἀλκμαιωνίδα γεγραφώς, τοὺς Μέλανος παῖδας ἐπιβουλεύοντας Οἰνεῖ, Φηνέα, Εὐρύαλον, Ὑπέρλαον, Ἀντίοχον, Εὐμήδην, Στέρνοπα, Ξάνθιππον, Σθενέλαον, ὡς δὲ Φερεκύδης φησίν, Ὠλενίαν ἀδελφὸν ἴδιον. Ἀγρίου δὲ δίκας ἐπάγοντος αὐτῷ φυγὼν εἰς Ἄργος ἦκε πρὸς Ἄδραστον καὶ τὴν τούτου γήμας θυγατέρα Δηιπύλην ἐγέννησε Διομήδην.

Τυδεὺς μὲν οὖν ἐπὶ Θήβας μετ᾽ Ἀδράστου στρατευσά- 77
μενος ὑπὸ Μελανίππου τρωθεὶς ἀπέθανεν· οἱ δὲ Ἀγρίου παῖδες, Θερσίτης, Ὀγχηστός, Πρόθοος, Κελεύτωρ, Λυκωπεύς, Μελάνιππος, ἀφελόμενοι τὴν Οἰνέως βασιλείαν τῷ πατρὶ ἔδοσαν καὶ προσέτι ζῶντα τὸν Οἰνέα καθείρξαντες ἠκίζοντο. ὕστερον δὲ Διομήδης ἐξ Ἄρ- 78
γους παραγενόμενος μετ᾽ Ἀλκμαίωνος κρύφα τοὺς μὲν Ἀγρίου παῖδας χωρὶς Ὀγχηστοῦ καὶ Θερσίτου πάντας ἀπέκτεινεν (οὗτοι γὰρ φθάσαντες εἰς Πελοπόννησον ἔφυγον), τὴν δὲ βασιλείαν, ἐπειδὴ γηραιὸς ἦν ὁ Οἰνεύς, Ἀνδραίμονι τῷ τὴν θυγατέρα τοῦ Οἰνέως γήμαντι δέδωκε, τὸν δὲ Οἰνέα εἰς Πελοπόννησον ἦγεν. οἱ δὲ δια- 79
φυγόντες Ἀγρίου παῖδες ἐνεδρεύσαντες περὶ τὴν Τηλέφου ἑστίαν τῆς Ἀρκαδίας τὸν πρεσβύτην ἀπέκτειναν. Διομήδης δὲ τὸν νεκρὸν εἰς Ἄργος κομίσας ἔθαψεν, ἔνθα νῦν πόλις ἀπ᾽ ἐκείνου Οἰνόη καλεῖται, καὶ γήμας Αἰγιάλειαν τὴν Ἀδράστου, ⟨ἢ⟩ ὡς ἔνιοί φασι τὴν Αἰγιαλέως, ἐπί τε Θήβας καὶ Τροίαν ἐστράτευσε.

τῶν δὲ Αἰόλου παίδων Ἀθάμας Βοιωτίας δυναστεύων 80
ἐκ Νεφέλης τεκνοῖ παῖδα μὲν Φρίξον, θυγατέρα δὲ

daß seine eigene Tochter von Oineus geschändet worden sei, und habe sie schwanger zu diesem zurückgeschickt. Von dieser aber wurde dem Oineus Tydeus geboren. Peisandros aber sagt, er sei von Gorge geboren worden, denn Oineus habe sich in seine Tochter nach dem Willen des Zeus verliebt.

(76) Tydeus aber wurde, nachdem er zu einem gewandten Mann geworden war, verbannt, da er, wie manche sagen, einen Bruder des Oineus, nämlich Alkathoos, getötet hatte; wie aber der Verfasser der ›Alkmaionis‹ ⟨sagt⟩, die Söhne des Melas ⟨getötet hatte⟩, die dem Oineus Nachstellungen bereiteten, nämlich Pheneus, Euryalos, Hyperlaos, Antiochos, Eumedes, Sternops, Xanthippos, Sthenelaos; wie aber Pherekydes behauptet, Olenias, seinen eigenen Bruder ⟨getötet hatte⟩. Als aber Agrios das Recht gegen ihn anwenden wollte, ging er nach Argos in die Verbannung und kam zu Adrastos; er heiratete dessen Tochter Deïpyle und zeugte den Diomedes.

(77) Tydeus nun zog mit Adrastos gegen Theben zu Felde, wurde von Melanippos verwundet und fand so den Tod. Die Söhne des Agrios aber, nämlich Thersites, Onchestos, Prothoos, Keleutor, Lykopeus, Melanippos, nahmen Oineus das Königtum weg und gaben es ihrem Vater; und dazu schlossen sie Oineus lebend ein und mißhandelten ihn. (78) Später aber kehrte Diomedes aus Argos mit Alkmaion heimlich zurück und tötete die Söhne des Agrios außer Onchestos und Thersites alle (denn diese waren zuvor in die Peloponnes geflohen); das Königtum aber gab er, da Oineus ein Greis war, dem Andraimon, der die Tochter des Oineus geheiratet hatte; den Oineus aber führte er in die Peloponnes. (79) Die geflohenen Söhne des Agrios aber legten sich am Altar des Telephos in Arkadien in einen Hinterhalt und töteten den alten Mann. Diomedes aber brachte den Leichnam nach Argos und begrub ihn, wo jetzt nach jenem eine Stadt Oinoë genannt wird; er heiratete Aigialeia, die Tochter des Adrastos, oder, wie einige behaupten, die Tochter des Aigialeus, und zog sowohl gegen Theben als auch gegen Troia zu Felde.

(80) Von den Söhnen des Aiolos aber hat Athamas die Macht über Boiotien; mit Nephele zeugt er den Sohn Phrixos und die

Ἕλλην. αὖθις δὲ Ἰνὼ γαμεῖ, ἐξ ἧς αὐτῷ Λέαρχος καὶ Μελικέρτης ἐγένοντο. ἐπιβουλεύουσα δὲ Ἰνὼ τοῖς Νεφέλης τέκνοις ἔπεισε τὰς γυναῖκας τὸν πυρὸν φρύγειν. λαμβάνουσαι δὲ κρύφα τῶν ἀνδρῶν τοῦτο ἔπρασσον. γῆ δὲ πεφρυγμένους πυροὺς δεχομένη καρποὺς ἐτησίους οὐκ ἀνεδίδου· διὸ πέμπων ὁ Ἀθάμας εἰς Δελφοὺς ἀπαλλαγὴν ἐπυνθάνετο τῆς ἀφορίας. Ἰνὼ δὲ τοὺς πεμφθέντας 81
ἀνέπεισε λέγειν, ὡς εἴη κεχρησμένον παύσασθαι τὴν ἀκαρπίαν, ἐὰν σφαγῇ Διὶ ὁ Φρίξος. τοῦτο ἀκούσας Ἀθάμας συναναγκαζόμενος ὑπὸ τῶν τὴν γῆν κατοικούντων τῷ βωμῷ παρέστησε Φρίξον. Νεφέλη δὲ μετὰ 82
τῆς θυγατρὸς αὐτὸν ἀνήρπασε καὶ παρ᾽ Ἑρμοῦ λαβοῦσα χρυσόμαλλον κριὸν ἔδωκεν, ἐφ᾽ οὗ φερόμενοι δι᾽ οὐρανοῦ τὴν μεταξὺ γῆν ὑπερέβησαν καὶ θάλασσαν. ὡς δὲ ἐγένοντο κατὰ τὴν μεταξὺ κειμένην θάλασσαν Σιγείου καὶ Χερρονήσου, ὤλισθεν εἰς τὸν βυθὸν ἡ Ἕλλη κἀκεῖ θανούσης αὐτῆς ἀπ᾽ ἐκείνης Ἑλλήσποντος ἐκλήθη τὸ πέλαγος. Φρίξος δὲ ἦλθεν εἰς Κόλχους, ὧν Αἰήτης 83
ἐβασίλευε, παῖς Ἡλίου καὶ Περσηίδος, ἀδελφὸς δὲ Κίρκης καὶ Πασιφάης, ἣν Μίνως ἔγημεν. οὗτος αὐτὸν ὑποδέχεται, καὶ μίαν τῶν θυγατέρων Χαλκιόπην δίδωσιν. ὁ δὲ τὸν χρυσόμαλλον κριὸν Διὶ θύει Φυξίῳ, τὸ δὲ τούτου δέρας Αἰήτῃ δίδωσιν· ἐκεῖνος δὲ αὐτὸ περὶ δρῦν ἐν Ἄρεος ἄλσει καθήλωσεν. ἐγένοντο δὲ ἐκ Χαλκιόπης Φρίξῳ παῖδες Ἄργος, Μέλας, Φρόντις, Κυτίσσωρος.

Ἀθάμας δὲ ὕστερον διὰ μῆνιν Ἥρας καὶ τῶν ἐξ Ἰνοῦς 84
ἐστερήθη παίδων· αὐτὸς μὲν γὰρ μανεὶς ἐτόξευσε Λέαρχον, Ἰνὼ δὲ Μελικέρτην μεθ᾽ ἑαυτῆς εἰς πέλαγος ἔρριψεν. ἐκπεσὼν δὲ τῆς Βοιωτίας ἐπυνθάνετο τοῦ θεοῦ, ποῦ κατοικήσει· χρησθέντος δὲ αὐτῷ κατοικεῖν ἐν ᾧπερ ἂν τόπῳ ὑπὸ ζῴων ἀγρίων ξενισθῇ, πολλὴν χώραν διελ-

Tochter Helle. Hinwieder aber heiratet er Ino, von der ihm Learchos und Melikertes geboren wurden. Ino aber bereitete den Kindern der Nephele Nachstellungen und überredete daher die Frauen, den Weizen zu rösten. Die aber empfingen ihn heimlich vor ihren Männern und machten das. Die Erde jedoch, die die gerösteten Weizenkörner aufnahm, brachte die jährlichen Früchte nicht hervor. Deshalb schickte Athamas nach Delphi und suchte etwas wegen der Befreiung von der Ertragslosigkeit zu erfahren. (81) Ino aber überredete die Ausgeschickten dazu, zu sagen, es sei prophezeit worden, daß die Unfruchtbarkeit aufhören werde, wenn Phrixos dem Zeus geschlachtet werde. Sobald Athamas dies gehört hatte, stellte er, von den Bewohnern des Landes gezwungen, Phrixos an den Altar. (82) Nephele aber entriß ihn mit ⟨Hilfe⟩ ihrer Tochter, und nachdem sie von Hermes einen goldwolligen Widder empfangen hatte, gab sie ihnen diesen, auf dem sie, durch den Himmel getragen, das Land und Gewässer dazwischen überquerten. Sowie sie aber zu dem zwischen Sigeion und der Cherronesos liegenden Gewässer gekommen waren, glitt Helle in die Tiefe, und nachdem sie dort den Tod gefunden hatte, wurde die See nach jener Helles-pontos (›Helle-Meer‹) genannt. (83) Phrixos aber kam zu den Kolchern, über die Aietes König war, der Sohn des Helios und der Perseïs, der Bruder der Kirke und der Pasiphaë, die Minos geheiratet hatte. Dieser nimmt ihn auf und gibt ihm eine seiner Töchter, Chalkiope. Der aber opfert den goldwolligen Widder dem Zeus Phyxios (›Fluchthelfer‹), sein Fell aber gibt er Aietes. Jener aber nagelte es um einen Baum im Hain des Ares. Geboren aber wurden von Chalkiope dem Phrixos die Söhne Argos, Melas, Phrontis, Kytissoros.

(84) Athamas aber wurde später wegen des Zornes der Hera auch seiner von Ino ⟨stammenden⟩ Kinder beraubt; denn wahnsinnig geworden, erschoß er selbst mit dem Bogen Learchos, Ino aber stürzte Melikertes mit sich in die See. Aus Boiotien aber vertrieben, suchte er vom Gott zu erfahren, wo er seinen Wohnsitz nehmen solle. Nachdem ihm aber geweissagt worden war, er solle an dem Platz seinen Wohnsitz nehmen, an dem er von wilden Lebewesen gastlich bewirtet werde, durchwanderte er viel Land und traf

θὼν ἐνέτυχε λύκοις προβάτων μοίρας νεμομένοις· οἱ δὲ θεωρήσαντες αὐτὸν ἃ διῃροῦντο ἀπολιπόντες ἔφυγον. Ἀθάμας δὲ κτίσας τὴν χώραν Ἀθαμαντίαν ἀφ' ἑαυτοῦ προσηγόρευσε καὶ γήμας Θεμιστὼ τὴν Ὑψέως ἐγέννησε Λεύκωνα, Ἐρύθριον, Σχοινέα, Πτῶον.

Σίσυφος δὲ ὁ Αἰόλου κτίσας Ἐφύραν τὴν νῦν λε- 85
γομένην Κόρινθον γαμεῖ Μερόπην τὴν Ἄτλαντος. ἐξ αὐτῶν παῖς γίνεται Γλαῦκος, ᾧ παῖς Βελλεροφόντης ἐξ Εὐρυμέδης ἐγεννήθη, ὃς ἔκτεινε τὴν πυρίπνουν Χίμαιραν. κολάζεται δὲ Σίσυφος ἐν Ἅιδου πέτρον ταῖς χερσὶ καὶ τῇ κεφαλῇ κυλίων καὶ τοῦτον ὑπερβάλλειν θέλων· οὗτος δὲ ὠθούμενος ὑπ' αὐτοῦ ὠθεῖται πάλιν εἰς τοὐπίσω. τίνει δὲ ταύτην τὴν δίκην διὰ τὴν Ἀσωποῦ θυγατέρα Αἴγιναν· ἁρπάσαντα γὰρ αὐτὴν κρύφα Δία Ἀσωπῷ μηνῦσαι ζητοῦντι λέγεται.

Δηιὼν δὲ βασιλεύων τῆς Φωκίδος Διομήδην τὴν 86
Ξούθου γαμεῖ, καὶ αὐτῷ γίνεται θυγάτηρ μὲν Ἀστεροδία, παῖδες δὲ Αἰνετός, Ἄκτωρ, Φύλακος, Κέφαλος, ὃς γαμεῖ Πρόκριν τὴν Ἐρεχθέως. αὖθις δὲ ἡ Ἠὼς αὐτὸν ἁρπάζει ἐρασθεῖσα.

Περιήρης δὲ Μεσσήνην κατασχὼν Γοργοφόνην τὴν 87
Περσέως ἔγημεν, ἐξ ἧς Ἀφαρεὺς αὐτῷ καὶ Λεύκιππος καὶ Τυνδάρεως ἔτι τε Ἰκάριος παῖδες ἐγένοντο. πολλοὶ δὲ τὸν Περιήρην λέγουσιν οὐκ Αἰόλου παῖδα, ἀλλὰ Κυνόρτα τοῦ Ἀμύκλα· διόπερ τὰ περὶ τῶν Περιήρους ἐκγόνων ἐν τῷ Ἀτλαντικῷ γένει δηλώσομεν.

Μάγνης δὲ Αἰόλου γαμεῖ Νύμφην Ναίδα, καὶ γίνονται 88
αὐτῷ παῖδες Πολυδέκτης καὶ Δίκτυς· οὗτοι Σέριφον ᾤκισαν.

Σαλμωνεὺς δὲ τὸ μὲν πρῶτον περὶ Θεσσαλίαν κατῴ- 89
κει, παραγενόμενος δὲ αὖθις εἰς Ἦλιν ἐκεῖ πόλιν ἔκτισεν. ὑβριστὴς δὲ ὢν καὶ τῷ Διὶ ἐξισοῦσθαι θέλων διὰ τὴν ἀσέβειαν ἐκολάσθη· ἔλεγε γὰρ ἑαυτὸν εἶναι Δία, καὶ τὰς

dabei auf Wölfe, die sich an Stücken von Schafen weideten. Sobald die ihn aber erblickt hatten, ließen sie zurück, was sie sich geteilt hatten, und flohen. Athamas aber besiedelte das Land und bezeichnete es nach sich als Athamantia; er heiratete Themisto, die Tochter des Hypseus, und zeugte Leukon, Erythrios, Schoineus, Ptoos.

(85) Sisyphos aber, der Sohn des Aiolos, besiedelte Ephyra, das jetzt Korinthos genannt wird, und heiratet Merope, die Tochter des Atlas. Von diesen wird der Sohn Glaukos gezeugt, dem der Sohn Bellerophontes von Eurymede geboren wurde, der die feuerschnaubende Chimaira tötete. Gezüchtigt aber wird Sisyphos im Hades, indem er einen Felsen mit den Händen und dem Kopf wälzt und diesen ⟨über einen Berg⟩ hinüberzuwerfen wünscht. Dieser aber wird, von ihm gestoßen, wieder zurückgestoßen. Er zahlt aber diese Buße wegen der Tochter des Asopos, Aigina; denn als Zeus diese heimlich geraubt hatte, habe er ihn dem Asopos, der sie suchte, angezeigt – so sagt man.

(86) Deïon aber regiert als König über Phokis und heiratet Diomede, die Tochter des Xuthos, und ihm wird die Tochter Asterodia geboren, aber die Söhne Ainetos, Aktor, Phylakos und Kephalos, der Prokris, die Tochter des Erechtheus, heiratet. Hinwieder aber raubt ihn Eos, die sich in ihn verliebt hatte.

(87) Perieres aber nahm Messene in Besitz und heiratete Gorgophone, die Tochter des Perseus, von der ihm Aphareus und Leukippos und Tyndareos und noch Ikarios als Söhne nachkamen. Viele aber sagen, dieser Perieres ⟨sei⟩ nicht Sohn des Aiolos, sondern des Kynortas, des Sohnes des Amyklas; deswegen werden wir die Ereignisse bezüglich der Nachkommen des Perieres bei der Atlantischen Nachkommenschaft offenlegen.

(88) Magnes aber, der Sohn des Aiolos, heiratet eine Nymphe – eine Naiade, und ihm werden die Söhne Polydektes und Diktys geboren; diese nahmen Seriphos als ihren Wohnsitz.

(89) Salmoneus aber hatte seinen Wohnsitz zuerst in der Gegend von Thessalien; hinwieder aber gelangte er nach Elis und besiedelte dort eine Stadt. Da er aber ein Frevler war und sich Zeus gleichzustellen wünschte, wurde er wegen seiner Unfrömmigkeit gezüch-

ἐκείνου θυσίας ἀφελόμενος ἑαυτῷ προσέτασσε θύειν, καὶ βύρσας μὲν ἐξηραμμένας ἐξ ἅρματος μετὰ λεβήτων χαλκῶν σύρων ἔλεγε βροντᾶν, βάλλων δὲ εἰς οὐρανὸν αἰθομένας λαμπάδας ἔλεγεν ἀστράπτειν. Ζεὺς δὲ αὐτὸν κεραυνώσας τὴν κτισθεῖσαν ὑπ᾽ αὐτοῦ πόλιν καὶ τοὺς οἰκήτορας ἠφάνισε πάντας.

Τυρὼ δὲ ἡ Σαλμωνέως θυγάτηρ καὶ Ἀλκιδίκης παρὰ 90
Κρηθεῖ τῷ Σαλμωνέως ἀδελφῷ τρεφομένη ἔρωτα ἴσχει Ἐνιπέως τοῦ ποταμοῦ καὶ συνεχῶς ἐπὶ τὰ τούτου ῥεῖθρα φοιτῶσα τούτοις ἀπωδύρετο. Ποσειδῶν δὲ εἰκασθεὶς Ἐνιπεῖ συγκατεκλίθη αὐτῇ· ἡ δὲ γεννήσασα κρύφα διδύμους παῖδας ἐκτίθησιν. ἐκκειμένων δὲ τῶν βρεφῶν, παρ- 91
ιόντων ἱπποφορβῶν ἵππος μία προσαψαμένη τῇ θηλῇ θατέρου τῶν βρεφῶν πέλιόν τι τοῦ προσώπου μέρος ἐποίησεν. ὁ δὲ ἱπποφορβὸς ἀμφοτέρους τοὺς παῖδας ἀνελόμενος ἔθρεψε, καὶ τὸν μὲν πελιωθέντα Πελίαν ἐκάλεσε, τὸν δὲ ἕτερον Νηλέα. τελειωθέντες δὲ ἀνεγνώ- 92
ρισαν τὴν μητέρα, καὶ τὴν μητρυιὰν ἀπέκτειναν Σιδηρώ· κακουμένην γὰρ γνόντες ὑπ᾽ αὐτῆς τὴν μητέρα ὥρμησαν ἐπ᾽ αὐτήν, ἡ δὲ φθάσασα εἰς τὸ τῆς Ἥρας τέμενος κατέφυγε, Πελίας δὲ ἐπ᾽ αὐτῶν τῶν βωμῶν αὐτὴν κατέσφαξε καὶ καθόλου διετέλει τὴν Ἥραν ἀτιμάζων. ἐστα- 93
σίασαν δὲ ὕστερον πρὸς ἀλλήλους, καὶ Νηλεὺς μὲν ἐκπεσὼν ἦκεν εἰς Μεσσήνην καὶ Πύλον κτίζει καὶ γαμεῖ Χλωρίδα τὴν Ἀμφίονος, ἐξ ἧς αὐτῷ γίνεται θυγάτηρ μὲν Πηρώ, ἄρρενες δὲ Ταῦρος, Ἀστέριος, Πυλάων, Δημαχος, Εὐρύβιος, Ἐπίλαος, Φράσιος, Εὐρυμένης, Εὐαγόρας, Ἀλάστωρ, Νέστωρ, Περικλύμενος, ᾧ δὴ καὶ Ποσειδῶν δίδωσι μεταβάλλειν τὰς μορφάς, καὶ μαχόμενος ὅτε Ἡρακλῆς ἐξεπόρθει Πύλον, γινόμενος ὁτὲ μὲν λέων, ὁτὲ δὲ ὄφις, ὁτὲ δὲ μέλισσα, ὑφ᾽ Ἡρακλέους μετὰ τῶν ἄλλων Νηλέως παίδων ἀπέθανεν. ἐσώθη δὲ Νέστωρ 94
μόνος, ἐπειδὴ παρὰ Γερηνίοις ἐτρέφετο· ὃς γήμας Ἀναξιβίαν τὴν Κρατιέως θυγατέρας μὲν Πεισιδίκην καὶ

tigt. Denn er sagte, er selbst sei Zeus, und indem er jenem die Opfer wegnahm, gab er den Auftrag, ihm selbst zu opfern, und indem er getrocknete Rinderhäute mit ehernen Kesseln an seinem Wagen schleifte, sagte er, er donnere, und indem er brennende Fackeln gen Himmel schmetterte, sagte er, er blitze. Zeus aber erschlug ihn mit dem Wetterstrahl und vernichtete die von ihm besiedelte Stadt und die Einwohner in ihrer Gesamtheit.

(90) Tyro aber, die Tochter des Salmoneus und der Alkidike, die bei Kretheus, dem Bruder des Salmoneus, aufgezogen wird, faßt Liebe zum Fluß Enipeus, ging beständig zu dessen Fluten und klagte bei diesen. Poseidon aber glich sich dem Enipeus an und legte sich mit ihr zusammen. Die aber gebar heimlich Zwillingsknaben, doch setzt sie sie aus. (91) Während aber die Säuglinge ausgesetzt waren und Stutenzüchter vorübergingen, berührte eine Stute den einen der Säuglinge mit der Zitze und verursachte so eine dunkle Stelle (*pélion*) im Gesicht. Der Stutenzüchter aber nahm beide Knaben hoch und zog sie auf, und den mit der dunklen Stelle (*peliothénta*) nannte er Pelias (›den Dunklen‹), den anderen aber Neleus. (92) Als sie aber herangewachsen waren, erkannten sie ihre Mutter wieder und töteten ihre Stiefmutter Sidero. Denn da sie erkannt hatten, daß ihre Mutter von dieser schlecht behandelt wurde, stürmten sie gegen sie los; diese aber kam ihnen zuvor, indem sie in den Tempelbezirk der Hera flüchtete; Pelias aber schlachtete sie unmittelbar auf dem Altar ab und verweigerte überhaupt der Hera fortwährend die Ehren. (93) Sie standen aber später gegeneinander auf und Neleus kam, vertrieben, nach Messene und besiedelt Pylos und heiratet Chloris, die Tochter des Amphion, von der ihm die Tochter Pero geboren wird, aber die männlichen Nachkommen Tauros, Asterios, Pylaon, Deïmachos, Eurybios, Epilaos, Phrasios, Eurymenes, Euagoras, Alastor, Nestor, Periklymenos, dem bekanntlich Poseidon sogar ⟨die Fähigkeit⟩ gibt, seine Gestalten zu verwandeln, und während er im Kampf, als Herakles Pylos zerstörte, bald ein Löwe, bald eine Schlange, bald eine Biene wurde, fand er durch Herakles mit den anderen Söhnen des Neleus den Tod. (94) Gerettet aber wurde allein Nestor, da er bei den Gereniern aufgezogen wurde. Der heiratete Anaxibia, die Tochter des

Πολυκάστην ἐγέννησε, παῖδας δὲ Περσέα, Στράτιον, Ἄρητον, Ἐχέφρονα, Πεισίστρατον, Ἀντίλοχον, Θρασυμήδην.

Πελίας δὲ περὶ Θεσσαλίαν κατῴκει καὶ γήμας Ἀναξιβίαν τὴν Βίαντος, ὡς δὲ ἔνιοι λέγουσι, Φυλομάχην τὴν Ἀμφίονος, ἐγέννησε παῖδα μὲν Ἄκαστον, θυγατέρας δὲ Πεισιδίκην, Πελόπειαν, Ἱπποθόην, Ἄλκηστιν. 95

Κρηθεὺς δὲ κτίσας Ἰωλκὸν γαμεῖ Τυρὼ τὴν Σαλμωνέως, ἐξ ἧς αὐτῷ γίνονται παῖδες Αἴσων, Ἀμυθάων, Φέρης. Ἀμυθάων μὲν οὖν οἰκῶν Πύλον Εἰδομένην γαμεῖ τὴν Φέρητος, καὶ γίνονται παῖδες αὐτῷ Βίας καὶ Μελάμπους, ὃς ἐπὶ τῶν χωρίων διατελῶν, οὔσης πρὸ τῆς οἰκήσεως αὐτοῦ δρυός, ἐν ᾗ φωλεὸς ὄφεων ὑπῆρχεν, ἀποκτεινάντων τῶν θεραπόντων τοὺς ὄφεις τὰ μὲν ἑρπετὰ ξύλα συμφορήσας ἔκαυσε, τοὺς δὲ τῶν ὄφεων νεοσσοὺς ἔθρεψεν. οἱ δὲ γενόμενοι τέλειοι παραστάντες αὐτῷ κοιμωμένῳ τῶν ὤμων ἐξ ἑκατέρου τὰς ἀκοὰς ταῖς γλώσσαις ἐξεκάθαιρον. ὁ δὲ ἀναστὰς καὶ γενόμενος περιδεὴς τῶν ὑπερπετομένων ὀρνέων τὰς φωνὰς συνίει καὶ παρ᾽ ἐκείνων μανθάνων προύλεγε τοῖς ἀνθρώποις τὰ μέλλοντα. προσέλαβε δὲ καὶ τὴν διὰ τῶν ἱερῶν μαντικήν, περὶ δὲ τὸν Ἀλφειὸν συντυχὼν Ἀπόλλωνι τὸ λοιπὸν ἄριστος ἦν μάντις. 96 97

Βίας δὲ ὁ Ἀμυθάονος ἐμνηστεύετο Πηρὼ τὴν Νηλέως· ὁ δὲ πολλῶν αὐτῷ μνηστευομένων τὴν θυγατέρα δώσειν ἔφη τῷ τὰς Φυλάκου βόας κομίσαντι αὐτῷ. αὗται δὲ ἦσαν ἐν Φυλάκῃ, καὶ κύων ἐφύλασσεν αὐτάς, ὃν οὔτε ἄνθρωπος οὔτε θηρίον πελάζον λαθεῖν ἐδύνατο. ταύτας ἀδυνατῶν Βίας τὰς βόας κλέψαι παρεκάλει τὸν ἀδελφὸν συλλαβέσθαι. Μελάμπους δὲ ὑπέσχετο καὶ προεῖπεν, ὅτι φωραθήσεται κλέπτων καὶ δεθεὶς ἐνιαυτὸν οὕτω τὰς 98 99

Kratieus, und zeugte die Töchter Peisidike und Polykaste, aber die Söhne Perseus, Stratios, Aretos, Echephron, Peisistratos, Antilochos, Thrasymedes.

(95) Pelias aber hatte seinen Wohnsitz in der Gegend von Thessalien; er heiratete Anaxibia, die Tochter des Bias – wie aber einige sagen, Phylomache, die Tochter des Amphion –, und zeugte den Sohn Akastos, aber die Töchter Peisidike, Pelopeia, Hippothoë, Alkestis.

(96) Kretheus aber besiedelte Iolkos und heiratet Tyro, die Tochter des Salmoneus, von der ihm die Söhne Aison, Amythaon, Pheres geboren werden. Amythaon nun bewohnt Pylos; er heiratet Eidomene, die Tochter des Pheres, und ihm werden die Söhne Bias und Melampus geboren. Dieser hielt sich beständig auf seinen Ländereien auf, wo vor seiner Wohnstätte ein Baum stand, in dem sich ein Schlupfwinkel von Schlangen befand. Nachdem seine Diener die Schlangen getötet hatten, trug er Holz zusammen und verbrannte die Kriechtiere, aber die Jungen der Schlangen zog er auf. (97) Als diese aber ausgewachsen waren, standen sie, während er schlief, neben ihm und reinigten von jeder der beiden Schultern aus seine Gehörgänge mit ihren Zungen. Sobald der aber aufgestanden und sehr ängstlich geworden war, vernahm er die Stimmen der über ihn hinwegfliegenden Vögel, und von jenen lernend, sagte er den Menschen die Zukunft voraus. Dazu erwarb er aber auch die Orakelkunst vermittels der Opfer, und nachdem er in der Gegend des Alpheios Apollon begegnet war, war er fortan der beste Orakeldeuter.

(98) Bias aber, der Sohn des Amythaon, freite um Pero, die Tochter des Neleus. Da aber viele um seine Tochter freiten, erklärte der, er werde sie demjenigen geben, der ihm die Kühe des Phylakos (›Wächter‹) bringe. Diese aber befanden sich in Phylake (›Wache‹), und ein Hund hielt sie unter Bewachung, dem weder Mensch noch Tier sich heimlich zu nähern vermochte. Da Bias diese Kühe nicht zu stehlen vermochte, rief er seinen Bruder herbei, auf daß er mit ihm anpacke. (99) Melampus aber versprach es und sagte voraus, daß er beim Stehlen als Dieb ergriffen, ein Jahr gefesselt werden und so die Kühe bekommen werde. Nach diesem Versprechen aber ging

βόας λήψεται. μετὰ δὲ τὴν ὑπόσχεσιν εἰς Φυλάκην ἀπῄει καί, καθάπερ προεῖπε, φωραθεὶς ἐπὶ τῇ κλοπῇ δέσμιος ἐν οἰκήματι ἐφυλάσσετο. λειπομένου δὲ τοῦ ἐνιαυτοῦ βραχέος χρόνου τῶν κατὰ τὸ κρυφαῖον τῆς στέγης σκωλήκων ἀκούει, τοῦ μὲν ἐρωτῶντος, πόσον ἤδη μέρος τῆς δοκοῦ διαβέβρωται, τῶν δὲ ἀποκρινομένων λοιπὸν ἐλάχιστον εἶναι. καὶ ταχέως ἐκέλευσεν αὐτὸν εἰς ἕτερον 100
οἴκημα μεταγαγεῖν, γενομένου δὲ τούτου μετ᾽ οὐ πολὺ συνέπεσε τὸ οἴκημα. θαυμάσας δὲ Φύλακος καὶ μαθών, ὅτι ἐστὶ μάντις ἄριστος, λύσας παρεκάλεσεν εἰπεῖν, ὅπως αὐτοῦ τῷ παιδὶ Ἰφίκλῳ παῖδες γένωνται. ὁ δὲ ὑπέσχετο, ἐφ᾽ ᾧ τὰς βόας λήψεται. καὶ καταθύσας ταύρους δύο καὶ 101
μελίσας τοὺς οἰωνοὺς προσεκαλέσατο· παραγενομένου δὲ αἰγυπιοῦ παρὰ τούτου μανθάνει δή, ὅτι Φύλακός ποτε κριοὺς τέμνων ἐπὶ τῶν αἰδοίων παρὰ τῷ Ἰφίκλῳ τὴν μάχαιραν ᾑμαγμένην ἔτι κατέθετο, δείσαντος δὲ τοῦ παιδὸς καὶ φυγόντος αὖθις κατὰ τῆς ἱερᾶς δρυὸς αὐτὴν ἔπηξε, καὶ ταύτην ἀμφιτροχάσας ἐκάλυψεν ὁ φλοιός. ἔλεγεν οὖν, εὑρεθείσης τῆς μαχαίρας εἰ ξύων τὸν ἰὸν ἐπὶ
ἡμέρας δέκα Ἰφίκλῳ δῷ πιεῖν, παῖδα γεννήσειν. ταῦτα 102
μαθὼν παρ᾽ αἰγυπιοῦ Μελάμπους τὴν μὲν μάχαιραν εὗρε, τῷ δὲ Ἰφίκλῳ τὸν ἰὸν ξύσας ἐπὶ ἡμέρας δέκα δέδωκε πιεῖν, καὶ παῖς αὐτῷ Ποδάρκης ἐγένετο. τὰς δὲ βόας εἰς Πύλον ἤλασε, καὶ τῷ ἀδελφῷ τὴν Νηλέως θυγατέρα λαβὼν ἔδωκε. καὶ μέχρι μέν τινος ἐν Μεσσήνῃ κατῴκει, ὡς δὲ τὰς ἐν Ἄργει γυναῖκας ἐξέμηνε Διόνυσος, ἐπὶ μέρει τῆς βασιλείας ἰασάμενος αὐτὰς ἐκεῖ μετὰ Βίαντος κατῴκησε.

Βίαντος δὲ καὶ Πηροῦς Ταλαός, οὗ καὶ Λυσιμάχης τῆς 103
Ἄβαντος τοῦ Μελάμποδος Ἄδραστος, Παρθενοπαῖος, Πρῶναξ, Μηκιστεύς, Ἀριστόμαχος, Ἐριφύλη, ἣν Ἀμφιάραος γαμεῖ. Παρθενοπαίου δὲ Πρόμαχος ἐγένετο, ὃς μετὰ τῶν Ἐπιγόνων ἐπὶ Θήβας ἐστρατεύθη, Μηκιστέως

er nach Phylake und wurde, wie er es vorausgesagt hatte, beim Stehlen als Dieb ergriffen und gefesselt in einem Wohnhaus unter Bewachung gehalten. Als aber von dem Jahr nur noch kurze Zeit übrig ist, hört er die Holzwürmer in dem verborgenen Teil der Decke, wobei der eine fragt, der wievielte Teil des Balkens schon durchgefressen sei, die anderen aber antworten, übrig sei nur noch der geringste. (100) Und schnell befahl er, ihn in ein anderes Wohnhaus zu überführen; als das aber geschehen war, fiel nicht lange danach das Wohnhaus zusammen. Phylakos aber wunderte sich, und nachdem er erfahren hatte, daß er der beste Orakeldeuter sei, löste er ihn ⟨aus den Fesseln⟩ und rief ihn herbei, damit er ihm sage, wie seinem Sohn Iphiklos Söhne geboren würden. Der aber versprach es unter der Bedingung, daß er die Kühe bekommen werde. (101) Und er opferte zwei Stiere, zerstückelte sie gliedweise und rief sich die einzeln fliegenden, vorbedeutenden Raubvögel herbei. Als sich aber ein Geier eingestellt hat, erfährt er offenbar von diesem, daß Phylakos einmal Widder an den Schamteilen beschnitten und das noch blutbefleckte Messer bei Iphiklos niedergelegt habe; als der Sohn aber in Angst geraten und geflohen sei, habe er es hinwieder in den heiligen Baum gerammt, und dieses habe die Rinde durch Überziehen versteckt. ⟨Der Geier⟩ sagte nun, wenn er nach dem Auffinden des Messers den Rost abschabe und ihn zehn Tage lang dem Iphiklos zu trinken gebe, werde dieser einen Sohn zeugen. (102) Nachdem er dies von dem Geier erfahren hatte, fand Melampus das Messer, schabte den Rost ab und gab ihn Iphiklos zehn Tage lang zu trinken, und dem wurde der Sohn Podarkes geboren. Die Kühe aber trieb er nach Pylos, bekam für seinen Bruder die Tochter des Neleus und gab sie ihm. Und bis zu einer bestimmten Zeit wohnte er in Messene; als aber Dionysos die Frauen in Argos in Raserei versetzt hatte, heilte er sie ⟨entlohnt⟩ durch einen Teil des Königtums und nahm dort mit Bias seinen Wohnsitz.

(103) Von Bias aber und Pero ⟨kommt⟩ Talaos, von dem und Lysimache, der Tochter des Abas, des Sohnes des Melampus, Adrastos, Parthenopaios, Pronax, Mekisteus, Aristomachos, Eriphyle ⟨kommen⟩, die Amphiaraos heiratet. Von Parthenopaios aber kam Promachos, der mit den Epigonen (›Nachkömmlingen‹)

δὲ Εὐρύαλος, ὃς ἦκεν εἰς Τροίαν. Πρώνακτος δὲ ἐγένετο Λυκοῦργος, Ἀδράστου δὲ καὶ Ἀμφιθέας τῆς Πρώνακτος θυγατέρες μὲν Ἀργεία, Δηιπύλη, Αἰγιάλεια, παῖδες δὲ Αἰγιαλεύς, Κυάνιππος.

Φέρης δὲ ὁ Κρηθέως Φερὰς ἐν Θεσσαλίᾳ κτίσας 104
ἐγέννησεν Ἄδμητον καὶ Λυκοῦργον. Λυκοῦργος μὲν οὖν περὶ Νεμέαν κατῴκησε, γήμας δὲ Εὐρυδίκην, ὡς δὲ ἔνιοί φασιν, Ἀμφιθέαν, ἐγέννησεν Ὀφέλτην κληθέντα Ἀρχέμορον. Ἀδμήτου δὲ βασιλεύοντος τῶν Φερῶν ἐθή- 105
τευσεν Ἀπόλλων αὐτῷ μνηστευομένῳ τὴν Πελίου θυγατέρα Ἄλκηστιν. ἐκείνῳ δὲ δώσειν ἐπαγγειλαμένου Πελίου τὴν θυγατέρα τῷ καταζεύξαντι ἅρμα λεόντων καὶ κάπρων Ἀπόλλων ζεύξας ἔδωκεν· ὁ δὲ κομίσας πρὸς Πελίαν Ἄλκηστιν λαμβάνει. θύων δὲ ἐν τοῖς γάμοις ἐξελάθετο Ἀρτέμιδι θῦσαι· διὰ τοῦτο τὸν θάλαμον ἀνοίξας εὗρε δρακόντων σπειράμασι πεπληρωμένον. Ἀπόλλων 106
δὲ εἰπὼν ἐξιλάσκεσθαι τὴν θεὸν ᾔτήσατο παρὰ Μοιρῶν, ἵνα, ὅταν Ἄδμητος μέλλῃ τελευτᾶν, ἀπολυθῇ τοῦ θανάτου, ἂν ἑκουσίως τις ὑπὲρ αὐτοῦ θνήσκειν ἕληται, πατὴρ ἢ μήτηρ ἢ γυνή. ὡς δὲ ἦλθεν ἡ τοῦ θνήσκειν ἡμέρα μήτε τοῦ πατρὸς μήτε τῆς μητρὸς ὑπὲρ αὐτοῦ θνήσκειν θελόντων Ἄλκηστις ὑπεραπέθανε. καὶ αὐτὴν πάλιν ἀνέπεμψεν ἡ Κόρη, ὡς δὲ ἔνιοι λέγουσιν, Ἡρακλῆς μαχεσάμενος Ἅιδῃ.

Αἴσονος δὲ τοῦ Κρηθέως καὶ Πολυμήδης τῆς Αὐτο- 107
λύκου Ἰάσων. οὗτος ᾤκει ἐν Ἰωλκῷ, τῆς δὲ Ἰωλκοῦ Πελίας ἐβασίλευσε μετὰ Κρηθέα, ᾧ χρωμένῳ περὶ τῆς βασιλείας ἐθέσπισεν ὁ θεὸς τὸν μονοσάνδαλον φυλάξασθαι. τὸ μὲν οὖν πρῶτον ἠγνόει τὸν χρησμόν, αὖθις δὲ 108
ὕστερον αὐτὸν ἔγνω. τελῶν γὰρ ἐπὶ τῇ θαλάσσῃ Ποσειδῶνι θυσίαν ἄλλους τε πολλοὺς ἐπὶ ταύτῃ καὶ τὸν Ἰάσονα μετεπέμψατο. ὁ δὲ πόθῳ γεωργίας ἐν τοῖς χωρίοις διατελῶν ἔσπευσεν ἐπὶ τὴν θυσίαν· διαβαίνων δὲ ποτα-

gegen Theben zu Felde zog, von Mekisteus aber Euryalos, der nach Troia ging. Von Pronax aber kam Lykurgos, von Adrastos aber und Amphithea, der Tochter des Pronax, ⟨kamen⟩ die Töchter Argeia, Deïpyle, Aigialeia, aber die Söhne Aigialeus, Kyanippos.

(104) Pheres aber, der Sohn des Kretheus, besiedelte Pherai in Thessalien und zeugte Admetos und Lykurgos. Lykurgos nun nahm seinen Wohnsitz in der Gegend von Nemea, heiratete Eurydike – wie aber einige behaupten: Amphithea – und zeugte Opheltes, der Archemoros genannt wurde. (105) Während aber Admetos als König über Pherai regierte, leistete Apollon Knechtsarbeit für ihn, als dieser um die Tochter des Pelias, Alkestis, freite. Nachdem aber Pelias verkündet hatte, er werde seine Tochter jenem geben, der an einen Wagen Löwen und Eber joche, jochte Apollon sie an und gab ihm diesen. Der aber brachte ihn zu Pelias und erhält Alkestis. Als er aber bei der Hochzeit opferte, vergaß er, der Artemis zu opfern. Deswegen fand er, als er das Brautgemach öffnete, dieses mit Knäueln von Drachen angefüllt. (106) Nachdem ihm aber Apollon gesagt hatte, er solle die Göttin gnädig stimmen, erbat er sich von den Moiren, daß, wenn Admetos ⟨sein Leben⟩ beenden müsse, er vom Sterben erlöst würde, wenn jemand freiwillig für ihn zu sterben wähle – Vater oder Mutter oder Frau. Als aber der Tag des Sterbens kam und weder der Vater noch die Mutter für ihn zu sterben wünschten, starb Alkestis für ihn. Und diese schickte Kore wieder empor, wie aber einige sagen, Herakles, nachdem er mit Hades gekämpft hatte.

(107) Von Aison aber, dem Sohn des Kretheus, und von Polymede, der Tochter des Autolykos, ⟨stammte⟩ Iason. Dieser wohnte in Iolkos, über Iolkos aber wurde nach Kretheus Pelias König, dem, als er eine Weissagung wegen des Königtums einholte, der Gott prophezeit hatte, daß er sich vor dem Mann mit nur einer einzigen Sandale in acht nehmen müsse. Zuerst nun hatte er die Weissagung nicht verstanden, später aber hinwieder verstand er sie. (108) Denn als er am Meer Poseidon gerade ein Opfer darbrachte, hatte er zu diesem sowohl nach vielen anderen als auch nach Iason schicken lassen. Der aber, der sich aus Verlangen nach Feldarbeit fortwährend auf den Ländereien aufhielt, eilte zum Opfer. Als er

μὸν Ἄναυρον ἐξῆλθε μονοσάνδαλος, τὸ ἕτερον ἀπολέσας ἐν τῷ ῥείθρῳ πέδιλον. θεασάμενος δὲ Πελίας αὐτὸν καὶ τὸν χρησμὸν συμβαλὼν ἠρώτα προσελθών, τί ἂν ἐποίησεν ἐξουσίαν ἔχων, εἰ λόγιον ἦν αὐτῷ πρός τινος φονευθήσεσθαι τῶν πολιτῶν. ὁ δέ, εἴτε ἐπελθὸν ἄλλως, 109
εἴτε διὰ μῆνιν Ἥρας, ἵν' ἔλθοι κακὸν Μήδεια Πελίᾳ (τὴν γὰρ Ἥραν οὐκ ἐτίμα), „τὸ χρυσόμαλλον δέρας" ἔφη „προσέταττον ἂν φέρειν αὐτῷ". τοῦτο Πελίας ἀκούσας εὐθὺς ἐπὶ τὸ δέρας ἐλθεῖν ἐκέλευσεν αὐτόν. τοῦτο δὲ ἐν Κόλχοις ἦν ⟨ἐν⟩ Ἄρεος ἄλσει κρεμάμενον ἐκ δρυός, ἐφρουρεῖτο δὲ ὑπὸ δράκοντος ἀύπνου.

ἐπὶ τοῦτο πεμπόμενος Ἰάσων Ἄργον παρεκάλεσε τὸν 110
Φρίξου, κἀκεῖνος Ἀθηνᾶς ὑποθεμένης πεντηκόντορον ναῦν κατεσκεύασε τὴν προσαγορευθεῖσαν ἀπὸ τοῦ κατασκευάσαντος Ἀργώ· κατὰ δὲ τὴν πρῴραν ἐνήρμοσεν Ἀθηνᾶ φωνῆεν φηγοῦ τῆς Δωδωνίδος ξύλον. ὡς δὲ ἡ ναῦς κατεσκευάσθη, χρωμένῳ ὁ θεὸς αὐτῷ πλεῖν ἐπέ- 111
τρεψε συναθροίσαντι τοὺς ἀρίστους τῆς Ἑλλάδος. οἱ δὲ συναθροισθέντες εἰσὶν οἵδε· Τῖφυς Ἁγνίου, ὃς ἐκυβέρνα τὴν ναῦν, Ὀρφεὺς Οἰάγρου, Ζήτης καὶ Κάλαϊς Βορέου, Κάστωρ καὶ Πολυδεύκης Διός, Τελαμὼν καὶ Πηλεὺς Αἰακοῦ, Ἡρακλῆς Διός, Θησεὺς Αἰγέως, Ἴδας καὶ Λυγκεὺς Ἀφαρέως, Ἀμφιάραος Οἰκλέους, Καινεὺς 112
Κορώνου, Παλαίμων Ἡφαίστου ἢ Αἰτωλοῦ, Κηφεὺς Ἀλεοῦ, Λαέρτης Ἀρκεισίου, Αὐτόλυκος Ἑρμοῦ, Ἀταλάντη Σχοινέως, Μενοίτιος Ἄκτορος, Ἄκτωρ Ἱππάσου, Ἄδμητος Φέρητος, Ἄκαστος Πελίου, Εὔρυτος Ἑρμοῦ, Μελέαγρος Οἰνέως, Ἀγκαῖος Λυκούργου, Εὔφημος Ποσειδῶνος, Ποίας Θαυμάκου, Βούτης Τελέοντος, Φᾶνος 113

aber den Fluß Anauros durchschritt, kam er mit nur einer einzigen Sandale wieder heraus; den anderen Schuh hatte er in der Strömung verloren. Als aber Pelias diesen erblickte und die Weissagung damit zusammenbrachte, kam er auf ihn zu und fragte ihn, was er getan haben würde – falls er die Möglichkeit dazu gehabt hätte –, wenn ihm der Wahrspruch zuteil geworden wäre, von einem seiner Mitbürger ermordet zu werden. (109) Der aber – sei es, daß es ihm anderswie in den Sinn kam, sei es wegen des Zornes der Hera, damit Medeia als Übel für Pelias käme (denn der Hera verweigerte er die Ehren) – behauptete: »Das goldwollige Fell zu holen würde ich ihm auftragen.« Nachdem Pelias dieses gehört hatte, befahl er ihm sofort, nach dem Fell loszugehen. Dieses aber war bei den Kolchern im Hain des Ares, aufgehängt an einem Baum, wurde aber von einem schlaflosen Drachen gehütet.

(110) Zu diesem ausgeschickt, rief Iason Argos, den Sohn des Phrixos, herbei, und jener baute auf Eingebung der Athena ein fünfzigrudriges Schiff, das nach dem, der es erbaut hatte, als Argo bezeichnet wurde. In den Bug fügte Athena ein stimmbegabtes ⟨Stück⟩ Holz der Dodonischen Eiche ein. Sowie aber das Schiff erbaut war und ⟨Iason⟩ eine Weissagung einholte, erlaubte ihm der Gott, loszusegeln, wenn er die Besten von Hellas versammelt habe. (111) Die sich aber versammelten, sind folgende: Tiphys, des Hagnios Sohn, der das Schiff steuerte; Orpheus, des Oiagros Sohn; Zetes und Kalais, des Boreas Söhne; Kastor und Polydeukes, des Zeus Söhne; Telamon und Peleus, des Aiakos Söhne; Herakles, des Zeus Sohn; Theseus, des Aigeus Sohn; Idas und Lynkeus, des Aphareus Söhne; Amphiaraos, des Oïkles Sohn; (112) Kaineus, des Koronos Sohn; Palaimon, des Hephaistos oder des Aitolos Sohn; Kepheus, des Aleos Sohn; Laërtes, des Arkeisios Sohn; Autolykos, des Hermes Sohn; Atalante, des Schoineus Tochter; Menoitios, des Aktor Sohn; Aktor, des Hippasos Sohn; Admetos, des Pheres Sohn; Akastos, des Pelias Sohn; Eurytos, des Hermes Sohn; Meleagros, des Oineus Sohn; Ankaios, des Lykurgos Sohn; Euphemos, des Poseidon Sohn; Poias, des Thaumakos Sohn; Butes, des Teleon Sohn; (113) Phanos

καὶ Στάφυλος Διονύσου, Ἐργῖνος Ποσειδῶνος, Περικλύμενος Νηλέως, Αὐγέας Ἡλίου, Ἴφικλος Θεστίου, Ἄργος Φρίξου, Εὐρύαλος Μηκιστέως, Πηνέλεως Ἱππάλμου, Λήιτος Ἀλέκτορος, Ἴφιτος Ναυβόλου, Ἀσκάλαφος καὶ Ἰάλμενος Ἄρεος, Ἀστέριος Κομήτου, Πολύφημος Ἐλάτου.

οὗτοι ναυαρχοῦντος Ἰάσονος ἀναχθέντες προσίσχουσι Λήμνῳ. ἔτυχε δὲ ἡ Λήμνος ἀνδρῶν τότε οὖσα ἔρημος, βασιλευομένη δὲ ὑπὸ Ὑψιπύλης τῆς Θόαντος δι' αἰτίαν τήνδε. αἱ Λήμνιαι τὴν Ἀφροδίτην οὐκ ἐτίμων· ἡ δὲ αὐταῖς ἐμβάλλει δυσοσμίαν, καὶ διὰ τοῦτο οἱ γήμαντες αὐτὰς ἐκ τῆς πλησίον Θρᾴκης λαβόντες αἰχμαλωτίδας συνευνάζοντο αὐταῖς. ἀτιμαζόμεναι δὲ αἱ Λήμνιαι τούς τε πατέρας καὶ τοὺς ἄνδρας φονεύουσι· μόνη δὲ ἔσωσεν Ὑψιπύλη τὸν ἑαυτῆς πατέρα κρύψασα Θόαντα. προσσχόντες οὖν τότε γυναικοκρατουμένῃ τῇ Λήμνῳ μίσγονται ταῖς γυναιξίν. Ὑψιπύλη δὲ Ἰάσονι συνευνάζεται καὶ γεννᾷ παῖδας Εὔνηον καὶ Νεβροφόνον. 114 115

ἀπὸ Λήμνου δὲ προσίσχουσι Δολίοσιν, ὧν ἐβασίλευε Κύζικος. οὗτος αὐτοὺς ὑπεδέξατο φιλοφρόνως. νυκτὸς δὲ ἀναχθέντες ἐντεῦθεν καὶ περιπεσόντες ἀντιπνοίαις, ἀγνοοῦντες πάλιν τοῖς Δολίοσι προσίσχουσιν. οἱ δὲ νομίζοντες Πελασγικὸν εἶναι στρατὸν (ἔτυχον γὰρ ὑπὸ Πελασγῶν συνεχῶς πολεμούμενοι) μάχην τῆς νυκτὸς συνάπτουσιν ἀγνοοῦντες πρὸς ἀγνοοῦντας. κτείναντες δὲ πολλοὺς οἱ Ἀργοναῦται, μεθ' ὧν καὶ Κύζικον, μεθ' ἡμέραν, ὡς ἔγνωσαν, ἀποδυράμενοι τάς τε κόμας ἐκείραντο καὶ τὸν Κύζικον πολυτελῶς ἔθαψαν. καὶ μετὰ τὴν ταφὴν πλεύσαντες Μυσίᾳ προσίσχουσιν. 116

ἐνταῦθα δὲ Ἡρακλέα καὶ Πολύφημον κατέλιπον. Ὕλας γὰρ ὁ Θειοδάμαντος παῖς, Ἡρακλέους δὲ ἐρώμενος, ἀποσταλεὶς ὑδρεύσασθαι διὰ κάλλος ὑπὸ Νυμφῶν ἡρπάγη. Πολύφημος δὲ ἀκούσας αὐτοῦ βοήσαντος, 117

und Staphylos, des Dionysos Söhne; Erginos, des Poseidon Sohn; Periklymenos, des Neleus Sohn; Augeas, des Helios Sohn; Iphiklos, des Thestios Sohn; Argos, des Phrixos Sohn; Euryalos, des Mekisteus Sohn; Peneleos, des Hippalmos Sohn; Leïtos, des Alektor Sohn; Iphitos, des Naubolos Sohn; Askalaphos und Ialmenos, des Ares Söhne; Asterios, des Kometes Sohn; Polyphemos, des Elatos Sohn.

(114) Diese stachen unter dem Schiffskommando des Iason in See und halten auf Lemnos zu. Lemnos aber war damals gerade leer von Männern, königlich regiert von Hypsipyle, des Thoas Tochter, aus folgendem Grund: Die Lemnierinnen verweigerten Aphrodite die Ehren. Die aber flößt ihnen üblen Geruch ein, und deswegen nahmen die ⟨Männer⟩, die sie geheiratet hatten, speererbeutete Mädchen aus dem nahen Thrake und teilten das Lager mit ihnen. (115) Da ihnen aber die Ehren verweigert werden, ermorden die Lemnierinnen sowohl ihre Väter als auch ihre Männer; allein Hypsipyle rettete ihren Vater Thoas, indem sie ihn verbarg. – Sie hielten nun damals auf das von Frauen beherrschte Lemnos zu und vereinigen sich mit den Frauen. Hypsipyle aber teilt das Lager mit Iason und gebiert die Söhne Euneos und Nebrophonos.

(116) Von Lemnos aber halten sie auf die Dolionen zu, über die Kyzikos König war. Dieser nahm sie freundlich gesonnen auf. Nachdem sie aber in der Nacht von dort in See gestochen und in widrige Winde geraten sind, halten sie unwissentlich wieder auf die Dolionen zu. Die aber meinten, es sei ein Pelasgisches Heer (denn sie wurden fortwährend von den Pelasgern befeindet), und zetteln in der Nacht einen Kampf an, unwissentlich gegen Unwissentliche. Nachdem aber die Argonauten viele getötet hatten, unter ihnen auch Kyzikos, und unter Tage, sobald es ihnen bewußt geworden war, betrauert hatten, schoren sie sich einerseits die Haare, andererseits begruben sie Kyzikos mit großer Pracht. Und nach dem Begräbnis segeln sie ab und halten auf Mysien zu.

(117) Hier aber ließen sie Herakles und Polyphemos zurück. Denn Hylas, der Sohn des Theiodamas, Geliebter des Herakles, wurde fortgeschickt, um Wasser zu holen, und dabei wegen seiner Schönheit von Nymphen geraubt. Polyphemos aber hörte ihn

σπασάμενος τὸ ξίφος ἐδίωξεν ὑπὸ ληστῶν ἄγεσθαι νομίζων. καὶ δηλοῖ συντυχόντι Ἡρακλεῖ. ζητούντων δὲ ἀμφοτέρων τὸν Ὕλαν ἡ ναῦς ἀνήχθη, καὶ Πολύφημος μὲν ἐν Μυσίᾳ κτίσας πόλιν Κίον ἐβασίλευσεν, Ἡρακλῆς δὲ ὑπέστρεψεν εἰς Ἄργος. Ἡρόδωρος δὲ αὐτὸν οὐδὲ τὴν 118
ἀρχὴν φησι πλεῦσαι τότε, ἀλλὰ παρ' Ὀμφάλῃ δουλεύειν. Φερεκύδης δὲ αὐτὸν ἐν Ἀφέταις τῆς Θεσσαλίας ἀπολειφθῆναι λέγει τῆς Ἀργοῦς φθεγξαμένης μὴ δύνασθαι φέρειν τὸ τούτου βάρος. Δημάρατος δὲ αὐτὸν εἰς Κόλχους πεπλευκότα παρέδωκε· Διονύσιος μὲν γὰρ αὐτὸν καὶ ἡγεμόνα φησὶ τῶν Ἀργοναυτῶν γενέσθαι.

ἀπὸ δὲ Μυσίας ἀπῆλθον εἰς τὴν Βεβρύκων γῆν, ἧς 119
ἐβασίλευεν Ἄμυκος Ποσειδῶνος παῖς καὶ Βιθυνίδος. γενναῖος δὲ ὢν οὗτος τοὺς προσσχόντας ξένους ἠνάγκαζε πυκτεύειν καὶ τοῦτον τὸν τρόπον ἀνῄρει. παραγενόμενος οὖν καὶ τότε ἐπὶ τὴν Ἀργὼ τὸν ἄριστον αὐτῶν εἰς πυγμὴν προεκαλεῖτο. Πολυδεύκης δὲ ὑποσχόμενος πυκτεύσειν πρὸς αὐτόν, πλήξας κατὰ τὸν ἀγκῶνα ἀπέκτεινε. τῶν δὲ Βεβρύκων ὁρμησάντων πρὸς αὐτὸν ἁρπάσαντες οἱ ἀριστεῖς τὰ ὅπλα πολλοὺς φεύγοντας φονεύουσιν αὐτῶν.

ἐντεῦθεν ἀναχθέντες καταντῶσιν εἰς τὴν τῆς Θρᾴκης 120
Σαλμυδησσόν, ἔνθα ᾧκει Φινεὺς μάντις τὰς ὄψεις πεπηρωμένος. τοῦτον οἱ μὲν Ἀγήνορος εἶναι λέγουσιν, οἱ δὲ Ποσειδῶνος υἱόν· καὶ πηρωθῆναί φασιν αὐτὸν οἱ μὲν ὑπὸ θεῶν, ὅτι προέλεγε τοῖς ἀνθρώποις τὰ μέλλοντα, οἱ δὲ ὑπὸ Βορέου καὶ τῶν Ἀργοναυτῶν, ὅτι πεισθεὶς μητρυιᾷ τοὺς ἰδίους ἐτύφλωσε παῖδας, τινὲς δὲ ὑπὸ Ποσειδῶνος, ὅτι τοῖς Φρίξου παισὶ τὸν ἐκ Κόλχων εἰς τὴν Ἑλλάδα πλοῦν ἐμήνυσεν. ἔπεμψαν δὲ αὐτῷ καὶ τὰς Ἁρ- 121
πυίας οἱ θεοί· πτερωταὶ δὲ ἦσαν αὗται, καὶ ἐπειδὰν τῷ Φινεῖ παρετίθετο τράπεζα, ἐξ οὐρανοῦ καθιπτάμεναι τὰ μὲν πλείονα ἀνήρπαζον, ὀλίγα δὲ ὅσα ὀσμῆς ἀνάπλεα κατέλειπον, ὥστε μὴ δύνασθαι προσενέγκασθαι. βου-

schreien, zückte sein Schwert und nahm die Verfolgung auf, in der Meinung, er werde von Räubern weggeführt. Und er offenbart es Herakles, der ihm begegnete. Während aber beide Hylas suchten, stach das Schiff in See, und Polyphemos besiedelte in Mysien die Stadt Kios und wurde ihr König, Herakles aber kehrte nach Argos zurück. (118) Herodoros aber behauptet, er sei damals von Anfang an überhaupt nicht mitgesegelt, sondern habe als Sklave bei Omphale gedient. Pherekydes aber sagt, er sei in Aphetai in Thessalien zurückgelassen worden, da die Argo äußerte, sie vermöge sein Gewicht nicht zu tragen. Demaratos aber hat überliefert, er sei zu den Kolchern gesegelt; denn Dionysios behauptet, er sei sogar Anführer der Argonauten gewesen.

(119) Von Mysien aber kamen sie ins Land der Bebryker, über das Amykos König war, der Sohn des Poseidon und der Bithynis. Da dieser gewandt war, zwang er die Fremden, die dort anlegten, mit der Faust zu kämpfen, und beseitigte sie auf diese Weise. Er begab sich nun auch damals zur Argo und forderte den Besten von ihnen zum Faustkampf heraus. Polydeukes aber erbot sich, gegen ihn mit der Faust zu kämpfen, schlug ihn im Bereich des Ellbogens und tötete ihn so. Als aber die Bebryker gegen ihn stürmten, rissen die Besten die Waffen an sich und ermorden viele von ihnen auf der Flucht.

(120) Von dort aber in See gestochen, gelangen sie nach Salmydessos in Thrake, wo Phineus wohnte, ein Orakeldeuter, der an seinen Sehorganen beschädigt war. Von diesem sagen die einen, er sei des Agenor, andere, des Poseidon Sohn. Und beschädigt worden sei er, behaupten die einen, von den Göttern, weil er den Menschen die Zukunft voraussagte, andere ⟨behaupten⟩, von Boreas und den Argonauten, weil er, überredet von der Stiefmutter, die eigenen Kinder geblendet hatte, manche aber ⟨behaupten⟩, von Poseidon, weil er den Kindern des Phrixos die Segelfahrt von den Kolchern nach Hellas angezeigt habe. (121) Geschickt hatten ihm die Götter auch die Harpyien (›Rafferinnen‹); diese waren geflügelt, und nachdem Phineus ein Tisch vorgesetzt wurde, flogen sie vom Himmel herab, rafften das meiste weg, nur weniges aber, das mit Gestank erfüllt war, ließen sie zurück, so daß er es nicht zu sich

λομένοις δὲ τοῖς Ἀργοναύταις τὰ περὶ τοῦ πλοῦ μαθεῖν ὑποθήσεσθαι τὸν πλοῦν ἔφη, τῶν Ἁρπυιῶν αὐτὸν ἐὰν ἀπαλλάξωσιν. οἱ δὲ παρέθεσαν αὐτῷ τράπεζαν ἐδεσμάτων, Ἅρπυιαι δὲ ἐξαίφνης σὺν βοῇ καταπτᾶσαι τὴν τροφὴν ἥρπασαν. θεασάμενοι δὲ οἱ Βορέου παῖδες Ζήτης 122
καὶ Κάλαϊς, ὄντες πτερωτοί, σπασάμενοι τὰ ξίφη δι᾽ ἀέρος ἐδίωκον. ἦν δὲ ταῖς Ἁρπυίαις χρεὼν τεθνάναι ὑπὸ τῶν Βορέου παίδων, τοῖς δὲ Βορέου παισὶ τότε τελευτήσειν, ὅταν διώκοντες μὴ καταλάβωσι. διωκομένων δὲ τῶν Ἁρπυιῶν ἡ μὲν μία κατὰ Πελοπόννησον εἰς τὸν Τίγρην ποταμὸν ἐμπίπτει, ὃς νῦν ἀπ᾽ ἐκείνης Ἅρπυς καλεῖται· ταύτην δὲ οἱ μὲν Νικοθόην, οἱ δὲ Ἀελλόπουν καλοῦσιν. ἡ δὲ ἑτέρα καλουμένη Ὠκυπέτη, ὡς δὲ ἔνιοι 123
Ὠκυθόη (Ἡσίοδος δὲ λέγει αὐτὴν Ὠκυπόδην), αὕτη κατὰ τὴν Προποντίδα φεύγουσα μέχρις Ἐχινάδων ἦλθε νήσων, αἳ νῦν ἀπ᾽ ἐκείνης Στροφάδες καλοῦνται· ἐστράφη γάρ, ὡς ἦλθεν ἐπὶ ταύτας, καὶ γενομένη κατὰ τὴν ἠιόνα ὑπὸ καμάτου πίπτει σὺν τῷ διώκοντι. Ἀπολλώνιος δὲ ἐν τοῖς Ἀργοναύταις ἕως Στροφάδων νήσων φησὶν αὐτὰς διωχθῆναι καὶ μηδὲν παθεῖν, δούσας ὅρκον τὸν Φινέα μηκέτι ἀδικῆσαι.

ἀπαλλαγεὶς δὲ τῶν Ἁρπυιῶν Φινεὺς ἐμήνυσε τὸν 124
πλοῦν τοῖς Ἀργοναύταις καὶ περὶ τῶν Συμπληγάδων ὑπέθετο πετρῶν τῶν κατὰ θάλασσαν. ἦσαν δὲ ὑπερμεγέθεις αὗται, συγκρουόμεναι δὲ ἀλλήλαις ὑπὸ τῆς τῶν πνευμάτων βίας τὸν διὰ θαλάσσης πόρον ἀπέκλειον. ἐφέρετο δὲ πολλὴ μὲν ὑπὲρ αὐτῶν ὁμίχλη, πολὺς δὲ πάταγος, ἦν δὲ ἀδύνατον καὶ τοῖς πετεινοῖς δι᾽ αὐτῶν διελθεῖν. εἶπεν οὖν αὐτοῖς ἀφεῖναι πελειάδα διὰ τῶν πε- 125
τρῶν, καὶ ταύτην ἐὰν μὲν ἴδωσι σωθεῖσαν, διαπλεῖν καταφρονοῦντας, ἐὰν δὲ ἀπολλυμένην, μὴ πλεῖν βιάζεσθαι. ταῦτα ἀκούσαντες ἀνήγοντο, καὶ ὡς πλησίον ἦσαν

zu nehmen vermochte. Da die Argonauten aber die Ereignisse bezüglich ihrer Fahrt kennenlernen wollten, werde er, so behauptete er, für die Fahrt Anweisungen geben, wenn sie ihn von den Harpyien befreiten. Die aber setzten ihm einen Tisch mit Speisen vor, die Harpyien (›Rafferinnen‹) aber flogen plötzlich mit Geschrei herab und rafften die Nahrung weg. (122) Nachdem aber die Söhne des Boreas, Kalaïs und Zetes, die geflügelt waren, sie erblickt hatten, zückten sie ihre Schwerter und verfolgten sie durch die Luft. Es gab aber für die Harpyien die Weissagung, daß sie den Tod fänden durch die Kinder des Boreas, für die Kinder des Boreas aber, daß sie dann ⟨ihr Leben⟩ beenden würden, wenn sie beim Verfolgen ⟨jemanden⟩ nicht ergriffen. Von den verfolgten Harpyien aber fällt die eine über der Peloponnes in den Fluß Tigres, der nach jener jetzt Harpys genannt wird; diese nennen manche Nikothoë, manche Aëllopus. (123) Die andere aber, genannt Okypete, wie aber einige ⟨sagen⟩, Okythoë (Hesiod aber bezeichnet sie als Okypode) – diese kam auf ihrer Flucht über die Propontis bis zu den Echinaden-Inseln, die nach jener jetzt Strophaden (›Wende⟨-Inseln⟩‹) genannt werden; denn sie wendete (*estraphe*), sowie sie zu diesen gekommen war, und als sie sich über dem Strand befand, fällt sie vor Erschöpfung mit ihrem Verfolger nieder. Apollonios aber behauptet in seinen ›Argonautika‹, sie seien bis zu den Strophaden-Inseln verfolgt worden und hätten nichts erlitten, nachdem sie den Eid abgegeben hätten, Phineus keinen Schaden mehr anzutun.

(124) Von den Harpyien aber befreit, zeigte Phineus den Argonauten die Segelfahrt an und gab Anweisungen über die Symplegaden-Felsen (›die zusammenschlagenden Felsen‹) im Meer. Diese aber waren übergroß, und wenn sie durch die Gewalt der Winde zusammengestoßen wurden, verschlossen sie den Weg durch das Meer. Hingetragen wurde aber viel Nebel über sie, aber auch viel Getöse, und es war auch für alles, was fleucht, unmöglich, durch sie hindurchzukommen. (125) Er sagte ihnen also, daß sie eine Taube durch die Felsen hindurchlassen sollten, und wenn sie diese gerettet sähen, sollten sie ohne Bedenken hindurchsegeln, wenn ⟨sie sie⟩ aber zugrunde gegangen ⟨sähen⟩, sollten sie nicht die Segelfahrt gewaltsam versuchen. Nachdem sie dies gehört hatten, sta-

τῶν πετρῶν, ἀφιᾶσιν ἐκ τῆς πρῴρας πελειάδα· τῆς δὲ
ἱπταμένης τὰ ἄκρα τῆς οὐρᾶς ἡ σύμπτωσις τῶν πετρῶν
ἀπέθρισεν. ἀναχωρούσας οὖν ἐπιτηρήσαντες τὰς πέ-
τρας μετ᾽ εἰρεσίας εὐτόνου συλλαβομένης Ἥρας διῆλθον,
τὰ ἄκρα τῶν ἀφλάστων τῆς νεὼς περικοπείσης. αἱ μὲν 126
οὖν Συμπληγάδες ἔκτοτε ἔστησαν· χρεὼν γὰρ ἦν αὐταῖς
νεὼς περαιωθείσης στῆναι παντελῶς. οἱ δὲ Ἀργοναῦται
πρὸς Μαριανδυνοὺς παρεγένοντο, κἀκεῖ φιλοφρόνως ὁ
βασιλεὺς ὑπεδέξατο Λύκος. ἔνθα θνήσκει μὲν Ἴδμων ὁ
μάντις πλήξαντος αὐτὸν κάπρου, θνήσκει δὲ καὶ Τῖφυς,
καὶ τὴν ναῦν Ἀγκαῖος ὑπισχνεῖται κυβερνᾶν.

παραπλεύσαντες δὲ Θερμώδοντα καὶ Καύκασον ἐπὶ 127
Φᾶσιν ποταμὸν ἦλθον· οὗτος τῆς Κολχικῆς ἐστιν. ἐγκαθ-
ορμισθείσης δὲ τῆς νεὼς ἦκε πρὸς Αἰήτην Ἰάσων, καὶ τὰ
ἐπιταγέντα ὑπὸ Πελίου λέγων παρεκάλει δοῦναι τὸ
δέρας αὐτῷ· ὁ δὲ δώσειν ὑπέσχετο, ἐὰν τοὺς χαλκόπο-
δας ταύρους μόνος καταζεύξῃ. ἦσαν δὲ ἄγριοι παρ᾽ 128
αὐτῷ ταῦροι δύο, μεγέθει διαφέροντες, δῶρον Ἡφαί-
στου, οἳ χαλκοῦς μὲν εἶχον πόδας, πῦρ δὲ ἐκ στομάτων
ἐφύσων. τούτους αὐτῷ ζεύξαντι ἐπέτασσε σπείρειν δρά-
κοντος ὀδόντας· εἶχε γὰρ λαβὼν παρ᾽ Ἀθηνᾶς τοὺς
ἡμίσεις ὧν Κάδμος ἔσπειρεν ἐν Θήβαις. ἀποροῦντος δὲ 129
τοῦ Ἰάσονος, πῶς ἂν δύναιτο τοὺς ταύρους καταζεῦξαι,
Μήδεια αὐτοῦ ἔρωτα ἴσχει· ἦν δὲ αὕτη θυγάτηρ Αἰήτου
καὶ Εἰδυίας τῆς Ὠκεανοῦ, φαρμακίς. δεδοικυῖα δέ, μὴ
πρὸς τῶν ταύρων διαφθαρῇ, κρύφα τοῦ πατρὸς συν-
εργήσειν αὐτῷ πρὸς τὴν κατάζευξιν τῶν ταύρων ἐπηγ-
γείλατο καὶ τὸ δέρας ἐγχειριεῖν, ἐὰν ὁμόσῃ αὐτὴν ἕξειν
γυναῖκα καὶ εἰς Ἑλλάδα σύμπλουν ἀγάγηται. ὀμόσαν- 130
τος δὲ Ἰάσονος φάρμακον δίδωσιν, ᾧ καταζευγνύναι
μέλλοντα τοὺς ταύρους ἐκέλευσε χρῖσαι τήν τε ἀσπίδα
καὶ τὸ δόρυ καὶ τὸ σῶμα· τούτῳ γὰρ χρισθέντα ἔφη πρὸς
μίαν ἡμέραν μήτ᾽ ἂν ὑπὸ πυρὸς ἀδικηθήσεσθαι μήτε ὑπὸ
σιδήρου. ἐδήλωσε δὲ αὐτῷ σπειρομένων τῶν ὀδόντων

chen sie in See, und sowie sie nahe an den Felsen waren, lassen sie vom Bug aus eine Taube los. Und während diese dahinflog, rasierte der Zusammenprall der Felsen die Spitzen ihres Schwanzes ab. Indem sie also das Zurückweichen der Felsen abpaßten, kamen sie mit angespanntem Rudern unter Mitanpacken der Hera hindurch, während die Spitzen des Heckknaufs des Schiffes abgeschlagen wurden. (126) Die Symplegaden standen also seit damals still, denn es gab für sie die Weissagung, daß sie, wenn ein Schiff sie durchquert habe, gänzlich stillständen. Die Argonauten aber gelangten zu den Mariandynern, und dort nahm sie der König Lykos freundlich gesonnen auf. Da stirbt der Orakeldeuter Idmon, weil ein Eber ihn schlug; es stirbt aber auch Tiphys, und Ankaios erbietet sich, das Schiff zu steuern.

(127) Nachdem sie aber am Thermodon und am Kaukasos vorbeigesegelt waren, kamen sie zum Fluß Phasis; dieser gehört zum Kolchischen ⟨Land⟩. Sobald aber das Schiff angelegt hatte, ging Iason zu Aietes, berichtete das ihm von Pelias Aufgetragene und forderte ihn auf, ihm das Fell zu geben. Der aber versprach, es ihm zu geben, wenn er allein die erzfüßigen Stiere joche. (128) Es befanden sich aber bei ihm zwei wilde Stiere, die sich durch ihre Größe auszeichneten – ein Geschenk des Hephaistos –, die eherne Füße hatten und Feuer aus ihren Mäulern bliesen. Diese zu jochen trug er ihm auf, und Zähne eines Drachen zu säen; denn er hatte von Athena die Hälfte derjenigen bekommen, die Kadmos in Theben gesät hatte. (129) Als Iason aber ratlos ist, wie er die Stiere zu jochen vermöge, faßt Medeia Liebe zu ihm; dies war die Tochter des Aietes und der Eidyia, der Tochter des Okeanos, eine Zauberin. Aus Angst aber davor, daß er von den Stieren vernichtet werde, erbot sie sich, verborgen vor ihrem Vater ihm hinsichtlich des Jochens der Stiere zu helfen und ihm das Fell auszuhändigen, wenn er schwöre, sie zur Frau zu nehmen, und sie als Segelgefährtin nach Hellas bringe. (130) Als aber Iason geschworen hat, gibt sie ihm ein Zaubermittel, mit dem – wenn er die Stiere jochen wolle – sowohl seinen Schild als auch seinen Speer als auch seinen Körper zu salben sie ihm befahl; denn damit gesalbt, behauptete sie, werde er für einen Tag weder durch Feuer Schaden erleiden noch durch Eisen.

ἐκ γῆς ἄνδρας μέλλειν ἀναδύεσθαι ἐπ᾽ αὐτὸν καθωπλισμένους, οὓς ἔλεγεν ἐπειδὰν ἀθρόους θεάσηται, βάλλειν εἰς μέσον λίθους ἄποθεν, ὅταν δὲ ὑπὲρ τούτου μάχωνται πρὸς ἀλλήλους, τότε κτείνειν αὐτούς. Ἰάσων δὲ 131
τοῦτο ἀκούσας καὶ χρισάμενος τῷ φαρμάκῳ, παραγενόμενος εἰς τὸ τοῦ νεὼ ἄλσος ἐμάστευε τοὺς ταύρους καὶ σὺν πολλῷ πυρὶ ὁρμήσαντας αὐτοὺς κατέζευξε. σπείραντος δὲ αὐτοῦ τοὺς ὀδόντας ἀνέτελλον ἐκ τῆς γῆς ἄνδρες ἔνοπλοι· ὁ δὲ ὅπου πλείονας ἑώρα, βάλλων ἀφανῶς λίθους, πρὸς αὐτοὺς μαχομένους πρὸς ἀλλήλους προσιὼν ἀνῄρει. καὶ κατεζευγμένων τῶν ταύρων οὐκ 132
ἐδίδου τὸ δέρας Αἰήτης, ἐβούλετο δὲ τήν τε Ἀργὼ καταφλέξαι καὶ κτεῖναι τοὺς ἐμπλέοντας. φθάσασα δὲ Μήδεια τὸν Ἰάσονα νυκτὸς ἐπὶ τὸ δέρας ἦγαγε καὶ τὸν φυλάσσοντα δράκοντα κατακοιμίσασα τοῖς φαρμάκοις μετὰ Ἰάσονος ἔχουσα τὸ δέρας ἐπὶ τὴν Ἀργὼ παρεγένετο. συνείπετο δὲ αὐτῇ καὶ ὁ ἀδελφὸς Ἄψυρτος. οἱ δὲ νυκτὸς μετὰ τούτων ἀνήχθησαν.

Αἰήτης δὲ ἐπιγνοὺς τὰ τῇ Μηδείᾳ τετολμημένα ὥρ- 133
μησε τὴν ναῦν διώκειν. ἰδοῦσα δὲ αὐτὸν πλησίον ὄντα Μήδεια τὸν ἀδελφὸν φονεύει καὶ μελίσασα κατὰ τοῦ βυθοῦ ῥίπτει. συναθροίζων δὲ Αἰήτης τὰ τοῦ παιδὸς μέλη τῆς διώξεως ὑστέρησε· διόπερ ὑποστρέψας καὶ τὰ σωθέντα τοῦ παιδὸς μέλη θάψας τὸν τόπον προσηγόρευσε Τόμους. πολλοὺς δὲ τῶν Κόλχων ἐπὶ τὴν ζήτησιν τῆς Ἀργοῦς ἐξέπεμψεν ἀπειλήσας, εἰ μὴ Μήδειαν ἄξουσιν, αὐτοὺς πείσεσθαι τὰ ἐκείνης. οἱ δὲ σχισθέντες ἄλλος ἀλλαχοῦ ζήτησιν ἐποιοῦντο.

τοῖς δὲ Ἀργοναύταις τὸν Ἠριδανὸν ποταμὸν ἤδη πα- 134
ραπλέουσι Ζεὺς μηνίσας ὑπὲρ τοῦ φονευθέντος Ἀψύρτου χειμῶνα λάβρον ἐπιπέμψας ἐμβάλλει πλάνην. καὶ αὐτῶν τὰς Ἀψυρτίδας νήσους παραπλεόντων ἡ ναῦς φθέγγεται μὴ λήξειν τὴν ὀργὴν τοῦ Διός, εἰ μὴ πορευθέντες εἰς τὴν Αὐσονίαν τὸν Ἀψύρτου φόνον καθαρθῶσιν ὑπὸ Κίρκης. οἱ δὲ παραπλεύσαντες τὰ Λιγύων καὶ

Sie offenbarte ihm aber, daß nach Säen der Zähne aus der Erde Männer auftauchen würden, gegen ihn bewaffnet; wenn er sie versammelt erblicke, solle er, sagte sie, mitten unter sie von fern Steine werfen, wenn sie aber deswegen gegeneinander kämpften, sie dann töten. (131) Nachdem aber Iason das gehört und sich mit dem Zaubermittel gesalbt hatte, begab er sich in den Tempelhain, spürte die Stiere auf und, obwohl sie mit viel Feuer anstürmten, jochte sie. Sobald er aber die Zähne gesät hatte, erhoben sich aus der Erde bewaffnete Männer. Wo er sie aber in größerer Menge sah, warf er unsichtbar Steine, ging gegen sie vor, während sie gegeneinander kämpften, und beseitigte sie. (132) Und obwohl die Stiere gejocht worden waren, gab Aietes das Fell nicht heraus, sondern wollte sowohl die Argo verbrennen als auch die auf ihr Segelnden töten. Aber Medeia kam dem zuvor und führte Iason in der Nacht zum Fell, schläferte den Drachen, der es bewachte, durch ihre Zaubermittel ein und begab sich mit Iason, im Besitz des Vlieses, zur Argo. Es folgte mit ihr aber auch ihr Bruder Apsyrtos. Die ⟨Argonauten⟩ aber stachen in der Nacht mit diesen in See.

(133) Nachdem aber Aietes das von Medeia wagemutig Vollbrachte erkannt hatte, stürmte er los, um das Schiff zu verfolgen. Als Medeia ihn aber nahe sah, ermordet sie ihren Bruder, zerstückelt ihn und wirft ihn in die Tiefe. Während aber Aietes die Stücke seines Sohnes aufsammelte, verspätete er sich bei der Verfolgung. Deshalb wandte er sich zurück, begrub die geretteten Stücke seines Sohnes und nannte den Ort Tomoi (›Schnitte‹). Viele der Kolcher aber schickte er zur Suche der Argo aus und drohte, wenn sie nicht Medeia brächten, würden sie das jener ⟨Zugedachte⟩ erleiden. Die aber verteilten sich, der eine hierhin, der andere dorthin, und machten sich an die Suche.

(134) Während aber die Argonauten schon den Fluß Eridanos entlangsegelten, geriet Zeus in Zorn um den ermordeten Apsyrtos, schickte ihnen einen heftigen Sturm und erlegt ihnen so eine Irrfahrt auf. Und während sie an den Apsyrtischen Inseln entlangsegeln, äußert sich die Argo dahingehend, daß der Groll des Zeus nicht aufhören werde, wenn sie nicht nach Ausonien aufbrächen und durch Kirke vom Mord an Apsyrtos gereinigt würden. Die

Κελτῶν ἔθνη καὶ διὰ τοῦ Σαρδονίου πελάγους διακομισθέντες παραμειψάμενοι Τυρρηνίαν ἦλθον εἰς Αἰαίην, ἔνθα Κίρκης ἱκέται γενόμενοι καθαίρονται.

παραπλεόντων δὲ Σειρῆνας αὐτῶν Ὀρφεὺς τὴν ἐναν- 135
τίαν μοῦσαν μελῳδῶν τοὺς Ἀργοναύτας κατέσχε. μόνος δὲ Βούτης ἐξενήξατο πρὸς αὐτάς, ὃν ἁρπάσασα Ἀφροδίτη ἐν Λιλυβαίῳ κατῴκισε.

μετὰ δὲ τὰς Σειρῆνας τὴν ναῦν Χάρυβδις ἐξεδέχετο 136
καὶ Σκύλλα καὶ πέτραι Πλαγκταί, ὑπὲρ ὧν φλὸξ πολλὴ καὶ καπνὸς ἀναφερόμενος ἑωρᾶτο. ἀλλὰ διὰ τούτων διεκόμισε τὴν ναῦν σὺν Νηρηίσι Θέτις παρακληθεῖσα ὑπὸ Ἥρας.

παραμειψάμενοι δὲ Θρινακίαν νῆσον Ἡλίου βόας 137
ἔχουσαν εἰς τὴν Φαιάκων νῆσον Κέρκυραν ἦκον, ἧς βασιλεὺς ἦν Ἀλκίνοος. τῶν δὲ Κόλχων τὴν ναῦν εὑρεῖν μὴ δυναμένων οἱ μὲν τοῖς Κεραυνίοις ὄρεσι παρῴκησαν, οἱ δὲ εἰς τὴν Ἰλλυρίδα κομισθέντες ἔκτισαν Ἀψυρτίδας νήσους· ἔνιοι δὲ πρὸς Φαίακας ἐλθόντες τὴν Ἀργὼ κατέλαβον καὶ τὴν Μήδειαν ἀπήτουν παρ' Ἀλκινόου. ὁ δὲ εἶ- 138
πεν, εἰ μὲν ἤδη συνελήλυθεν Ἰάσονι, δώσειν αὐτὴν ἐκείνῳ, εἰ δ' ἔτι παρθένος ἐστί, τῷ πατρὶ ἀποπέμψειν. Ἀρήτη δὲ ἡ Ἀλκινόου γυνὴ φθάσασα Μήδειαν Ἰάσονι συνέζευξεν· ὅθεν οἱ μὲν Κόλχοι μετὰ Φαιάκων κατῴκησαν, οἱ δὲ Ἀργοναῦται μετὰ τῆς Μηδείας ἀνήχθησαν.

πλέοντες δὲ νυκτὸς σφοδρῷ περιπίπτουσι χειμῶνι. 139
Ἀπόλλων δὲ στὰς ἐπὶ τὰς Μελαντίους δειρὰς τοξεύσας τῷ βέλει εἰς τὴν θάλασσαν κατήστραψεν. οἱ δὲ πλησίον ἐθεάσαντο νῆσον, τῷ δὲ παρὰ προσδοκίαν ἀναφανῆναι προσορμισθέντες Ἀνάφην ἐκάλεσαν. ἱδρυσάμενοι δὲ βωμὸν Ἀπόλλωνος Αἰγλήτου καὶ θυσιάσαντες ἐπ' εὐωχίαν ἐτράπησαν. δοθεῖσαι δ' ὑπὸ Ἀρήτης Μηδείᾳ δώδεκα θεράπαιναι τοὺς ἀριστέας ἔσκωπτον μετὰ παιγνίας· ὅθεν ἔτι καὶ νῦν ἐν τῇ θυσίᾳ σύνηθές ἐστι σκώπτειν ταῖς γυναιξίν.

aber segelten an den Völkern der Ligyer und Kelten entlang, reisten durch das Sardonische Meer, kreuzten an Tyrrhenien vorbei und kamen nach Aiaie, wo sie, zu Schutzflehenden Kirkes geworden, gereinigt werden.

(135) Während sie aber an den Seirenen entlangsegelten, stimmte Orpheus den Gegengesang an und hielt dadurch die Argonauten zurück. Allein Butes schwamm zu ihnen hinaus; den entraffte Aphrodite und ließ ihn in Lilybaion seinen Wohnsitz nehmen.

(136) Nach den Seirenen aber empfing die Charybdis das Schiff, und Skylla und die Plankten-Felsen (›Irr-Felsen‹), über denen eine große Flamme und dahingetragener Rauch gesehen wurde. Doch durch diese brachte zusammen mit den Nereïden Thetis das Schiff hindurch, herbeigerufen von Hera.

(137) Sie kreuzten aber an der Insel Thrinakia vorbei, die die Rinder des Helios hatte, und kamen zur Phaiaken-Insel Kerkyra, über die Alkinoos König war. Da aber die Kolcher das Schiff nicht zu finden vermochten, nahmen die einen ihren Wohnsitz an den Keraunischen Bergen, andere reisten nach Illyrien und besiedelten die Apsyrtischen Inseln. Einige aber kamen zu den Phaiaken, trafen auf die Argo und forderten Medeia von Alkinoos zurück. (138) Der aber sagte, wenn sie schon mit Iason zusammengekommen sei, werde er sie jenem geben, wenn sie aber noch Jungfer sei, werde er sie ihrem Vater zurückschicken. Arete aber, die Frau des Alkinoos, verband Medeia zuvor mit Iason. Daher nahmen die Kolcher zusammen mit den Phaiaken ihren Wohnsitz, die Argonauten aber stachen zusammen mit Medeia in See.

(139) Während sie dahinsegeln, geraten sie in der Nacht in einen gewaltigen Sturm. Apollon aber stellte sich auf die Melantischen Bergrücken, schoß mit seinem Pfeil ins Meer und ließ es so blitzen. Die aber erblickten in der Nähe eine Insel und nannten sie, weil sie wider Erwarten erschienen war, nach dem Anlegen Anaphe (›die Erschienene‹). Sie errichteten einen Altar des Apollon Aigletes (›des Glänzenden‹), opferten und wandten sich dann dem Schmaus zu. Die aber von Arete der Medeia gegebenen zwölf Dienerinnen verspotteten die Besten mit Scherz; deswegen ist es auch jetzt noch beim Opfer den Frauen Gewohnheit, zu spotten.

ἐντεῦθεν ἀναχθέντες κωλύονται Κρήτῃ προσίσχειν 140
ὑπὸ Τάλω. τοῦτον οἱ μὲν τοῦ χαλκοῦ γένους εἶναι λέγουσιν, οἱ δὲ ὑπὸ Ἡφαίστου Μίνωι δοθῆναι· ὃς ἦν χαλκοῦς ἀνήρ, οἱ δὲ ταῦρον αὐτὸν λέγουσιν. εἶχε δὲ φλέβα μίαν ἀπὸ αὐχένος κατατείνουσαν ἄχρι σφυρῶν· κατὰ δὲ τὸ τέρμα τῆς φλεβὸς ἦλος διήρειστο χαλκοῦς. οὗτος ὁ 141
Τάλως τρὶς ἑκάστης ἡμέρας τὴν νῆσον περιτροχάζων ἐτήρει· διὸ καὶ τότε τὴν Ἀργὼ προσπλέουσαν θεωρῶν τοῖς λίθοις ἔβαλλεν. ἐξαπατηθεὶς δὲ ὑπὸ Μηδείας ἀπέθανεν, ὡς μὲν ἔνιοι λέγουσι, διὰ φαρμάκων αὐτῷ μανίαν Μηδείας ἐμβαλούσης, ὡς δέ τινες, ὑποσχομένης ποιήσειν ἀθάνατον καὶ τὸν ἦλον ἐξελούσης, ἐκρυέντος τοῦ παντὸς ἰχῶρος αὐτὸν ἀποθανεῖν. τινὲς δὲ αὐτὸν τοξευθέντα ὑπὸ Ποίαντος εἰς τὸ σφυρὸν τελευτῆσαι λέγουσι.

μίαν δὲ ἐνταῦθα νύκτα μείναντες Αἰγίνῃ προσίσχουσιν ὑδρεύσασθαι θέλοντες, καὶ γίνεται περὶ τῆς ὑδρείας αὐτοῖς ἅμιλλα. ἐκεῖθεν δὲ διὰ τῆς Εὐβοίας καὶ τῆς Λοκρίδος πλεύσαντες εἰς Ἰωλκὸν ἦλθον τὸν πάντα πλοῦν ἐν τέτταρσι μησὶ τελειώσαντες. 142

Πελίας δὲ ἀπογνοὺς τὴν ὑποστροφὴν τῶν Ἀργοναυτῶν τὸν Αἴσονα κτείνειν ἤθελεν· ὁ δὲ αἰτησάμενος ἑαυτὸν ἀνελεῖν θυσίας ἐπιτελῶν ἀδεῶς τοῦ ταύρου αἷμα σπασάμενος ἀπέθανεν. ἡ δὲ Ἰάσονος μήτηρ ἐπαρασαμένη Πελίᾳ νήπιον ἀπολιποῦσα παῖδα Πρόμαχον ἑαυτὴν ἀνήρτησε· Πελίας δὲ καὶ τὸν αὐτῇ καταλειφθέντα παῖδα ὡς πατρὸς πολεμίου ἀπέκτεινεν. ὁ δὲ Ἰάσων κατελθὼν τὸ μὲν δέρας ἔδωκε, περὶ ὧν δὲ ἠδικήθη μετελθεῖν ἐθέλων καιρὸν ἐξεδέχετο. καὶ τότε 144
μὲν εἰς Ἰσθμὸν μετὰ τῶν ἀριστέων πλεύσας ἀνέθηκε τὴν ναῦν Ποσειδῶνι, αὖθις δὲ Μήδειαν παρακαλεῖ ζητεῖν, ὅπως Πελίας αὐτῷ δίκας ὑπόσχῃ. ἡ δὲ εἰς τὰ βασίλεια τοῦ Πελίου παρελθοῦσα πείθει τὰς θυγατέρας αὐτοῦ τὸν πατέρα κρεουργῆσαι καὶ καθεψῆσαι, διὰ φαρμάκων

(140) Von dort in See gestochen, werden sie von Talos gehindert, auf Kreta zuzuhalten. Von diesem sagen die einen, er gehöre zum ehernen Geschlecht, andere, er sei von Hephaistos Minos gegeben worden. Der war ein eherner Mann, andere sagen, er ⟨sei⟩ ein Stier. Er hatte eine einzige Ader, die sich vom Nacken bis zu den Knöcheln herab erstreckte; am Endpunkt der Ader aber war ein eherner Nagel hindurchgetrieben. (141) Dieser Talos umlief dreimal jeden Tag die Insel und hielt Wache. Deswegen erblickte er auch damals die Argo beim Heransegeln und bewarf sie mit den ⟨üblichen⟩ Steinen. Von Medeia aber getäuscht, starb er: wie einige sagen, weil Medeia ihm durch Zaubermittel Raserei einflößte, wie aber manche ⟨sagen⟩, weil sie ihm versprach, ihn unsterblich zu machen, und den Nagel herausnahm; so sei er, da der ganze Ichor herausfloß, gestorben. Manche aber sagen, er sei, von Poias mit dem Bogen in den Knöchel geschossen, verendet.

(142) Sie blieben aber eine einzige Nacht dort und halten dann auf Aigina zu, da sie sich Wasser zu holen wünschten, und es entsteht wegen des Wasserholens unter ihnen ein Wettstreit. Von dort aber segelten sie zwischen Euboia und Lokris hindurch und kamen nach Iolkos, nachdem sie die ganze Fahrt in vier Monaten vollendet hatten.

(143) Pelias aber hatte die ⟨Erwartung der⟩ Rückkehr der Argonauten aufgegeben und wünschte daher, Aison zu töten. Der aber erbat für sich, sich selbst beseitigen zu dürfen, vollendete Opfer, sog furchtlos das Stierblut ein und starb so. Die Mutter des Iason aber verfluchte Pelias, und indem sie einen unmündigen Sohn, Promachos, hinterließ, erhängte sie sich; Pelias aber tötete auch den von ihr hinterlassenen Sohn, als ⟨stamme er⟩ von einem feindlichen Vater. Iason aber kam zurück und übergab das Vlies; da er aber dem, worin ihm Schaden zugefügt worden war, nachzugehen wünschte, wartete er auf eine günstige Gelegenheit. (144) Und damals segelte er mit den Besten zum Isthmos und stellte das Schiff für Poseidon ⟨als Weihgeschenk⟩ auf. Hinwieder aber forderte er Medeia auf, danach zu suchen, wie zu seiner Genugtuung Pelias Schaden nehmen könne. Die aber ging in den Königspalast des Pelias und überredet seine Töchter dazu, ihren Vater zu zerhacken und aufzuko-

αὐτὸν ἐπαγγελλομένη ποιήσειν νέον· καὶ τοῦ πιστεῦσαι χάριν κριὸν μελίσασα καὶ καθεψήσασα ἐποίησεν ἄρνα. αἱ δὲ πιστεύσασαι τὸν πατέρα κρεουργοῦσι καὶ καθέψουσιν. Ἄκαστος δὲ μετὰ τῶν τὴν Ἰωλκὸν οἰκούντων τὸν πατέρα θάπτει, τὸν δὲ Ἰάσονα μετὰ τῆς Μηδείας τῆς Ἰωλκοῦ ἐκβάλλει.

οἱ δὲ ἦκον εἰς Κόρινθον καὶ δέκα μὲν ἔτη διετέλουν 145
εὐτυχοῦντες, αὖθις δὲ τοῦ τῆς Κορίνθου βασιλέως Κρέοντος τὴν θυγατέρα Γλαύκην Ἰάσονι ἐγγυῶντος παραπεμψάμενος Ἰάσων Μήδειαν ἐγάμει. ἡ δὲ οὕς τε ὤμοσεν Ἰάσων θεοὺς ἐπικαλεσαμένη καὶ τὴν Ἰάσονος ἀχαριστίαν μεμψαμένη πολλάκις τῇ μὲν γαμουμένῃ πέπλον μεμαγευμένον φαρμάκοις ἔπεμψεν, ὃν ἀμφιεσαμένη μετὰ τοῦ βοηθοῦντος πατρὸς πυρὶ λάβρῳ κατεφλέχθη, τοὺς δὲ παῖδας, οὓς εἶχεν ἐξ Ἰάσονος, Μέρμερον καὶ 146
Φέρητα, ἀπέκτεινε, καὶ λαβοῦσα παρὰ Ἡλίου ἅρμα πτηνῶν δρακόντων ἐπὶ τούτου φεύγουσα ἦλθεν εἰς Ἀθήνας. λέγεται δὲ ⟨καί⟩, ὅτι φεύγουσα τοὺς παῖδας ἔτι νηπίους ὄντας κατέλιπεν, ἱκέτας καθίσασα ἐπὶ τὸν βωμὸν τῆς Ἥρας τῆς Ἀκραίας· Κορίνθιοι δὲ αὐτοὺς ἀναστήσαντες κατετραυμάτισαν.

Μήδεια δὲ ἧκεν εἰς Ἀθήνας κἀκεῖ γαμηθεῖσα Αἰγεῖ 147
παῖδα γεννᾷ Μῆδον. ἐπιβουλεύουσα δὲ ὕστερον Θησεῖ φυγὰς ἐξ Ἀθηνῶν μετὰ τοῦ παιδὸς ἐκβάλλεται. ἀλλ᾽ οὗτος μὲν πολλῶν κρατήσας βαρβάρων τὴν ὑφ᾽ ἑαυτὸν χώραν ἅπασαν Μηδίαν ἐκάλεσε καὶ στρατευόμενος ἐπὶ Ἰνδοὺς ἀπέθανε· Μήδεια δὲ εἰς Κόλχους ἦλθεν ἄγνωστος καὶ καταλαβοῦσα Αἰήτην ὑπὸ τοῦ ἀδελφοῦ Πέρσου τῆς βασιλείας ἐστερημένον κτείνασα τοῦτον τῷ πατρὶ τὴν βασιλείαν ἀποκατέστησεν.

chen, indem sie sich erbot, ihn durch Zaubermittel wieder jung zu machen; und damit sie es glauben, zerstückelte sie einen Widder, kochte ihn auf und machte ihn so wieder zu einem Lamm. Die aber glaubten das, zerhacken ihren Vater und kochen ihn auf. Akastos aber begräbt mit den Einwohnern von Iolkos seinen Vater und vertreibt Iason mit Medeia aus Iolkos.

(145) Die aber kamen nach Korinthos und verbrachten zehn Jahre in fortwährendem Glück. Als aber hinwieder der König von Korinthos, Kreon, seine Tochter Glauke mit Iason verlobte, schickte Iason Medeia weg und heiratete jene. Nachdem die ⟨Medeia⟩ aber sowohl die Götter, bei denen Iason geschworen hatte, angerufen als auch Iasons Undankbarkeit oft getadelt hatte, schickte sie der eben Verheirateten ein mit magischen Mitteln verzaubertes Gewand; sobald die sich damit bekleidet hatte, ging sie zusammen mit ihrem zu Hilfe eilenden Vater durch heftiges Feuer in Flammen auf. (146) Die Söhne aber, die sie von Iason hatte, nämlich Mermeros und Pheres, tötete ⟨Medeia⟩, und als sie von Helios einen Wagen mit geflügelten Drachen erhalten hatte, ging sie, auf diesem fliehend, nach Athen. Es wird aber auch gesagt, daß sie fliehend ihre Söhne, die noch unmündig waren, zurückließ und als Schutzflehende an den Altar der Hera Akraia (›der auf der Höhe ⟨Wohnenden⟩‹) setzte. Die Korinther aber ließen sie aufstehen und überdeckten sie mit Wunden.

(147) Medeia aber kam nach Athen, verheiratete sich dort mit Aigeus und gebiert einen Sohn Medos. Da sie aber später eine Hinterlist gegen Theseus plant, wird sie als Flüchtling mit ihrem Sohn aus Athen vertrieben. Doch dieser überwältigte viele Barbaren, nannte das ganze ihm unterstehende Land Medien und starb auf einem Feldzug gegen die Inder. Medeia aber ging unerkannt zu den Kolchern, und da sie Aietes antraf, wie er von seinem Bruder Perses des Königtums beraubt worden war, tötete sie diesen und stellte ihrem Vater das Königtum wieder her.

ΛΟΓΟΣ ΔΕΥΤΕΡΟΣ

Ἐπειδὴ δὲ τὸ τοῦ Δευκαλίωνος διεξεληλύθαμεν γένος, 1
ἐχομένως λέγωμεν τὸ Ἰνάχειον.

Ὠκεανοῦ καὶ Τηθύος γίνεται παῖς Ἴναχος, ἀφ᾽ οὗ πο-
ταμὸς ἐν Ἄργει Ἴναχος καλεῖται. τούτου καὶ Μελίας τῆς
Ὠκεανοῦ Φορωνεύς τε καὶ Αἰγιαλεὺς παῖδες ἐγένοντο.
Αἰγιαλέως μὲν οὖν ἄπαιδος ἀποθανόντος ἡ χώρα ἅπασα
Αἰγιάλεια ἐκλήθη, Φορωνεὺς δὲ ἁπάσης τῆς ὕστερον
Πελοποννήσου προσαγορευθείσης δυναστεύων ἐκ Τη-
λοδίκης Νύμφης Ἄπιν καὶ Νιόβην ἐγέννησεν. Ἄπις μὲν 2
οὖν εἰς τυραννίδα τὴν ἑαυτοῦ μεταστήσας δύναμιν καὶ
βίαιος ὢν τύραννος, ὀνομάσας ἀφ᾽ ἑαυτοῦ τὴν Πελο-
πόννησον Ἀπίαν, ὑπὸ Θελξίονος καὶ Τελχῖνος ἐπιβου-
λευθεὶς ἅπαις ἀπέθανε καὶ νομισθεὶς θεὸς ἐκλήθη
Σάραπις· Νιόβης δὲ καὶ Διὸς (ᾗ πρώτῃ γυναικὶ Ζεὺς
θνητῇ ἐμίγη) παῖς Ἄργος ἐγένετο, ὡς δὲ Ἀκουσίλαός
φησι, καὶ Πελασγός, ἀφ᾽ οὗ κληθῆναι τοὺς τὴν Πελο-
πόννησον οἰκοῦντας Πελασγούς. Ἡσίοδος δὲ τὸν Πελα-
σγὸν αὐτόχθονά φησιν εἶναι. ἀλλὰ περὶ μὲν τούτου 3
πάλιν ἐροῦμεν. Ἄργος δὲ λαβὼν παρὰ Φορωνέως τὴν
βασιλείαν ἀφ᾽ ἑαυτοῦ τὴν Πελοπόννησον ἐκάλεσεν
Ἄργος καὶ γήμας Εὐάδνην τὴν Στρυμόνος καὶ Νεαίρας
ἐτέκνωσεν Ἔκβασον, Πείραντα, Ἐπίδαυρον, Κρίασον,
ὃς καὶ τὴν βασιλείαν παρέλαβεν.

Ἐκβάσου δὲ Ἀγήνωρ γίνεται, τούτου δὲ Ἄργος ὁ 4
Πανόπτης λεγόμενος. εἶχε δὲ οὗτος ὀφθαλμοὺς μὲν ἐν
παντὶ τῷ σώματι, ὑπερβάλλων δὲ δυνάμει τὸν μὲν τὴν
Ἀρκαδίαν λυμαινόμενον ταῦρον ἀνελὼν τὴν τούτου
δορὰν ἠμφιέσατο, Σάτυρον δὲ τοὺς Ἀρκάδας ἀδικοῦντα
καὶ ἀφαιρούμενον τὰ βοσκήματα ὑποστὰς ἀπέκτεινε.
λέγεται δέ, ὅτι καὶ τὴν Ταρτάρου καὶ Γῆς Ἔχιδναν, ἣ

ZWEITES BUCH

(1) Nachdem wir aber den Stamm des Deukalion ganz durchgegangen sind, wollen wir anschließend etwas vom Inachischen ⟨Stamm⟩ sagen.

Von Okeanos und Tethys stammt als Kind Inachos, nach dem der Fluß in Argos Inachos genannt wird. Von diesem und von Melia, der Tochter des Okeanos, stammten Phoroneus und Aigialeus als Kinder. Als nun Aigialeus kinderlos gestorben war, wurde das ganze Land Aigialeia genannt; Phoroneus aber, der über die ganze – später so bezeichnete – Peloponnes herrschte, zeugte mit der Nymphe Telodike den Apis und die Niobe. (2) Apis nun verwandelte seine Macht in eine Tyrannei und war ein gewaltsamer Tyrann, der die Peloponnes nach sich Apia nannte. Da ihm von Thelxion und Telchin Nachstellungen bereitet worden waren, starb er kinderlos und wurde, für einen Gott gehalten, Sarapis genannt. Von Niobe aber und von Zeus (mit der als der ersten sterblichen Frau sich Zeus vereinigte) stammte als Kind Argos, wie aber Akusilaos behauptet, auch Pelasgos, nach dem die Einwohner der Peloponnes Pelasger genannt worden seien. Hesiod aber behauptet, Pelasgos sei aus dem Lande selbst. (3) Doch über diesen werden wir noch einmal sprechen. Als aber Argos das Königtum von Phoroneus übernommen hatte, nannte er die Peloponnes nach sich Argos, heiratete Euadne, die Tochter des Strymon und der Neaira, und zeugte als Kinder Ekbasos, Peiras, Epidauros, Kriasos, der auch das Königtum übernahm.

(4) Von Ekbasos aber stammt Agenor, von diesem aber Argos, der ›Panoptes‹ (›Ganzauge‹) genannt wird. Dieser hatte Augen am ganzen Körper. Da er aber an Mächtigkeit überlegen war, beseitigte er den Stier, der Arkadien verwüstete, und bekleidete sich mit dessen Fell; dem Satyros aber, der den Arkadern Schaden zufügte und ihnen ihr Weidevieh wegnahm, hielt er stand und tötete ihn. Es wird aber gesagt, daß er auch die Echidna, die Tochter von Tartaros

τοὺς παριόντας συνήρπαζεν, ἐπιτηρήσας κοιμωμένην ἀπέκτεινεν. ἐξεδίκησε δὲ καὶ τὸν Ἄπιδος φόνον, τοὺς αἰτίους ἀποκτείνας.

Ἄργου δὲ καὶ Ἰσμήνης τῆς Ἀσωποῦ παῖς Ἴασος, οὗ 5
φασιν Ἰὼ γενέσθαι. Κάστωρ δὲ ὁ συγγράψας τὰ Χρονικὰ καὶ πολλοὶ τῶν Τραγικῶν Ἰνάχου τὴν Ἰὼ λέγουσιν. Ἡσίοδος δὲ καὶ Ἀκουσίλαος Πειρῆνος αὐτὴν φασιν εἶναι. ταύτην ἱερωσύνην τῆς Ἥρας ἔχουσαν Ζεὺς ἔφθειρε. φωραθεὶς δὲ ὑφ' Ἥρας τῆς μὲν κόρης ἁψάμενος εἰς βοῦν μετεμόρφωσε λευκήν, ἀπωμόσατο δὲ ταύτῃ μὴ συνελθεῖν· διό φησιν Ἡσίοδος οὐκ ἐπισπᾶσθαι τὴν ἀπὸ τῶν θεῶν ὀργὴν τοὺς γινομένους ὅρκους ὑπὲρ ἔρωτος. Ἥρα 6
δὲ αἰτησαμένη παρὰ Διὸς τὴν βοῦν φύλακα αὐτῆς κατέστησεν Ἄργον τὸν Ἰανόπτην, ὃν Φερεκύδης μὲν Ἀρέστορος λέγει, Ἀσκληπιάδης δὲ Ἰνάχου, Κέρκωψ δὲ Ἄργου καὶ Ἰσμήνης τῆς Ἀσωποῦ θυγατρός· Ἀκουσίλαος δὲ γηγενῆ αὐτὸν λέγει. οὗτος ἐκ τῆς ἐλαίας ἐδέσμευεν αὐτήν, ἥτις ἐν τῷ Μυκηναίων ὑπῆρχεν ἄλσει. Διὸς δὲ ἐπι- 7
τάξαντος Ἑρμῇ κλέψαι τὴν βοῦν, μηνύσαντος Ἱέρακος, ἐπειδὴ λαθεῖν οὐκ ἠδύνατο, λίθῳ βαλὼν ἀπέκτεινε τὸν Ἄργον, ὅθεν Ἀργειφόντης ἐκλήθη, Ἥρα δὲ τῇ βοῒ οἶστρον ἐμβάλλει· ἡ δὲ πρῶτον ἦκεν εἰς τὸν ἀπ' ἐκείνης Ἰόνιον κόλπον κληθέντα, ἔπειτα διὰ τῆς Ἰλλυρίδος πορευθεῖσα καὶ τὸν Αἷμον ὑπερβαλοῦσα διέβη τὸν τότε μὲν καλούμενον πόρον Θρᾴκιον, νῦν δὲ ἀπ' ἐκείνης Βόσπορον. ἀπελθοῦσα δὲ εἰς Σκυθίαν καὶ τὴν Κιμμηρίδα γῆν, 8
πολλὴν χέρσον πλανηθεῖσα καὶ πολλὴν διανῃξαμένη θάλασσαν Εὐρώπης τε καὶ Ἀσίας, τελευταῖον ἦκεν εἰς Αἴγυπτον, ὅπου τὴν ἀρχαίαν μορφὴν ἀπολαβοῦσα γεννᾷ παρὰ τῷ Νείλῳ ποταμῷ Ἔπαφον παῖδα. τοῦτον 9
Ἥρα δεῖται Κουρήτων ἀφανῆ ποιῆσαι· οἱ δὲ ἠφάνισαν αὐτόν. καὶ Ζεὺς μὲν αἰσθόμενος κτείνει Κούρητας, Ἰὼ δὲ ἐπὶ ζήτησιν τοῦ παιδὸς ἐτράπετο. πλανωμένη δὲ κατὰ τὴν Συρίαν ἅπασαν (ἐκεῖ γὰρ ἐμηνύετο ⟨, ὅτι ἡ⟩ τοῦ

und Ge, die die Vorübergehenden wegraffte, schlafend abpaßte und so tötete. Er rächte aber auch die Ermordung des Apis, indem er die Schuldigen tötete.

(5) Von Argos aber und von Ismene, der Tochter des Asopos, ⟨stammt⟩ als Kind Iasos, von dem, wie man behauptet, Io stamme. Kastor aber, der die ›Chronika‹ verfaßt hat, und viele der Tragiker nennen Io eine Tochter des Inachos. Hesiod aber und Akusilaos behaupten, sie sei eine Tochter des Peiren. Diese, die das heilige Priesteramt der Hera innehatte, verführte Zeus. Aber ertappt von Hera, berührte er das Mädchen und gestaltete es dadurch zu einer weißen Kuh, schwor aber ab, mit ihr zusammengekommen zu sein; deswegen, so behauptet Hesiod, zögen die über die Liebe geleisteten Eide nicht den Groll von den Göttern auf sich. (6) Hera aber bedang sich von Zeus die Kuh aus und setzte als ihren Wächter Argos, das ›Ganzauge‹, ein, den Pherekydes einen Sohn des Arestor nennt, Asklepiades aber einen Sohn des Inachos, Kerkops aber einen Sohn des Argos und der Ismene, der Tochter des Asopos; Akusilaos aber nennt ihn einen Erdgeborenen. Dieser band sie an den Ölbaum, der im Hain der Mykenaier stand. (7) Nachdem Zeus aber Hermes aufgetragen hatte, die Kuh zu stehlen, doch Hierax ⟨Hermes⟩ angezeigt hatte, tötete er, da er nicht verborgen zu bleiben vermochte, Argos durch einen Steinwurf, weswegen er ›Argeiphontes‹ (›Argos-Mörder‹) genannt wurde. Hera aber setzt auf die Kuh eine Rinderbremse an. Die ⟨Kuh⟩ aber kam zuerst an den nach jener genannten Io-nischen Busen, darauf wanderte sie durch Illyrien, überquerte den Haimos und durchschritt die damals so genannte Thrakische Furt, die jetzt aber nach jener ⟨so genannnte⟩ Kuhfurt (Bos-poros). (8) Sie ging aber nach Skythien und zum Kimmerischen Land fort, durchirrte viel Festland und durchschwamm viel Meer von Europa und von Asien und kam zuletzt nach Aigyptos, wo sie ihre alte Gestalt zurückerhielt und am Fluß Neilos den Epaphos als Kind gebiert. (9) Hera bittet die Kureten, diesen unsichtbar zu machen, und die machten ihn unsichtbar. Und nachdem Zeus das bemerkt hat, tötet er die Kureten, Io aber wandte sich zur Suche nach ihrem Kind. Sie irrt aber in ganz Syrien herum (denn ihr wurde angezeigt, daß dort die Frau des Königs der

Βυβλίων βασιλέως ⟨γυνὴ⟩ ἐτιθήνει τὸν υἱόν) καὶ τὸν Ἔπαφον εὑροῦσα, εἰς Αἴγυπτον ἐλθοῦσα ἐγαμήθη Τηλεγόνῳ τῷ βασιλεύοντι τότε Αἰγυπτίων. ἱδρύσατο δὲ ἄγαλμα Δήμητρος, ἣν ἐκάλεσεν Ἶσιν Αἰγύπτιοι, καὶ τὴν Ἰὼ Ἶσιν ὁμοίως προσηγόρευσαν.

Ἔπαφος δὲ βασιλεύων Αἰγυπτίων γαμεῖ Μέμφιν τὴν 10
Νείλου θυγατέρα καὶ ἀπὸ ταύτης κτίζει Μέμφιν πόλιν καὶ τεκνοῖ θυγατέρα Λιβύην, ἀφ᾽ ἧς ἡ χώρα Λιβύη ἐκλήθη. Λιβύης δὲ καὶ Ποσειδῶνος γίνονται παῖδες δίδυμοι Ἀγήνωρ καὶ Βῆλος. Ἀγήνωρ μὲν οὖν εἰς Φοινίκην ἀπαλλαγεὶς ἐβασίλευσε κἀκεῖ τῆς μεγάλης ῥίζης ἐγένετο γενεάρχης· ὅθεν ὑπερθησόμεθα περὶ τούτου. Βῆλος δὲ ὑπο- 11
μείνας ἐν Αἰγύπτῳ βασιλεύει μὲν Αἰγύπτου, γαμεῖ δὲ Ἀγχινόην τὴν Νείλου θυγατέρα καὶ αὐτῷ γίνονται παῖδες δίδυμοι Αἴγυπτος καὶ Δαναός, ὡς δέ φησιν Εὐριπίδης, καὶ Κηφεὺς καὶ Φινεύς προσέτι. Δαναὸν μὲν οὖν Βῆλος ἐν Λιβύῃ κατῴκισεν, Αἴγυπτον δὲ ἐν Ἀραβίᾳ, ὃς καὶ καταστρεψάμενος τὴν Μελαμπόδων χώραν ὠνόμασεν Αἴγυπτον. γίνονται δὲ ἐκ πολλῶν γυναικῶν Αἰγύπτῳ 12
μὲν παῖδες πεντήκοντα, θυγατέρες δὲ Δαναῷ πεντήκοντα. στασιασάντων δὲ αὐτῶν περὶ τῆς ἀρχῆς ὕστερον Δαναὸς τοὺς Αἰγύπτου παῖδας δεδοικὼς ὑποθεμένης Ἀθηνᾶς αὐτῷ ναῦν κατεσκεύασε πρῶτος καὶ τὰς θυγατέρας ἐνθέμενος ἔφυγε. προσσχὼν δὲ Ῥόδῳ τὸ τῆς Λινδίας 13
ἄγαλμα Ἀθηνᾶς ἱδρύσατο. ἐντεῦθεν δὲ ἦκεν εἰς Ἄργος καὶ τὴν βασιλείαν αὐτῷ παραδίδωσι Γελάνωρ ὁ τότε βασιλεύων Ἄργους. ἀνύδρου δὲ τῆς χώρας ὑπαρχούσης, ἐπειδὴ καὶ τὰς πηγὰς ἐξήρανε Ποσειδῶν μηνίων Ἰνάχῳ, διότι τὴν χώραν Ἥρας ἐμαρτύρησεν εἶναι, τὰς θυγατέρας ὑδρευσομένας ἔπεμψε. μία δὲ αὐτῶν Ἀμυμώνη 14
ζητοῦσα ὕδωρ ῥίπτει βέλος ἐπὶ ἔλαφον καὶ κοιμωμένου Σατύρου τυγχάνει κἀκεῖνος περιναστὰς ἐπεθύμει συγγενέσθαι· Ποσειδῶνος δὲ ἐπιφανέντος ὁ Σάτυρος μὲν ἔφυγεν, Ἀμυμώνη δὲ τούτῳ συνευνάζεται καὶ αὐτῇ Ποσειδῶν τὰς ἐν Λέρνῃ πηγὰς ἐμήνυσεν.

Byblier ihren Sohn säugte) und fand Epaphos; dann ging sie nach Aigyptos und verheiratete sich mit Telegonos, der damals als König über die Aigypter regierte. Sie errichtete eine Bildsäule der Demeter, die die Aigypter Isis nannten, und sie bezeichneten Io in ähnlicher Weise als Isis.

(10) Epaphos aber, der als König über die Aigypter regiert, heiratet Memphis, die Tochter des Neilos, und gründet ⟨und benennt⟩ nach ihr die Stadt Memphis und zeugt die Tochter Libye, nach der das Land Libyen genannt wurde. Von Libye aber und Poseidon stammen die Zwillingssöhne Agenor und Belos. Agenor nun zog nach Phoinike ab, trat das Königtum an und wurde dort Stammherr des großen Geschlechtes; deswegen werden wir ⟨den Bericht⟩ über ihn aufschieben. (11) Belos aber blieb in Aigyptos zurück, herrscht als König über Aigyptos, heiratet Anchinoë, die Tochter des Neilos, und ihm werden Zwillingssöhne geboren, nämlich Aigyptos und Danaos, wie aber Euripides behauptet, auch Kepheus und noch dazu Phineus. Den Danaos nun ließ Belos seinen Wohnsitz in Libyen nehmen, den Aigyptos aber in Arabien, der sich auch das Land der Melampoden (›Schwarzfüßer‹) unterwarf und Aigyptos benannte. (12) Geboren aber werden dem Aigyptos von vielen Frauen fünfzig Söhne, dem Danaos aber fünfzig Töchter. Als sie aber später wegen der Herrschaft ⟨gegeneinander⟩ aufstanden, ängstigte sich Danaos vor den Söhnen des Aigyptos. Da Athena es ihm eingab, baute er als erster ein Schiff, setzte seine Töchter hinein und floh. (13) Er hielt aber auf Rhodos zu und errichtete hier die Bildsäule der Lindischen Athena. Von dort aber kam er nach Argos, und ihm übergibt Gelanor das Königtum, der damals als König über Argos regierte. Weil aber das Land wasserlos war, nachdem Poseidon auch die Quellen ausgetrocknet hatte, aus Zorn auf Inachos, da er bezeugt hatte, daß das Land Hera gehöre, schickte er seine Töchter aus, um Wasser zu holen. (14) Eine von ihnen aber, Amymone, die Wasser sucht, wirft ihren Spieß auf eine Hindin und trifft einen schlafenden Satyr, und jener stand auf und begehrte, mit ihr zusammenzusein. Als aber Poseidon erschien, floh zwar der Satyr, Amymone aber lagert sich mit diesem zusammen, und Poseidon zeigte ihr die Quellen in Lerne an.

Οἱ δὲ Αἰγύπτου παῖδες ἐλθόντες εἰς Ἄργος τῆς τε 15
ἔχθρας παύσασθαι παρεκάλουν καὶ τὰς θυγατέρας αὐ-
τοῦ γαμεῖν ἠξίουν. Δαναὸς δὲ ἅμα μὲν ἀπιστῶν αὐτῶν
τοῖς ἐπαγγέλμασιν, ἅμα δὲ καὶ μνησικακῶν περὶ τῆς
φυγῆς ὡμολόγει τοὺς γάμους καὶ διεκλήρου τὰς κόρας.
Ὑπερμνήστραν μὲν οὖν τὴν πρεσβυτέραν ἐξεῖλον Λυγ- 16
κεῖ καὶ Γοργοφόνην Πρωτεῖ· οὗτοι γὰρ ἐκ βασιλίδος γυ-
ναικὸς Ἀργυφίης ἐγεγόνεισαν Αἰγύπτῳ. τῶν δὲ λοιπῶν
ἔλαχον Βούσιρις μὲν καὶ Ἐγκέλαδος καὶ Λύκος καὶ
Δαΐφρων τὰς Δαναῷ γεννηθείσας ἐξ Εὐρώπης Αὐτο-
μάτην, Ἀμυμώνην, Ἀγαυήν, Σκαιήν. αὗται δὲ ἐκ βα-
σιλίδος ἐγένοντο Δαναῷ, ἐκ δὲ Ἐλεφαντίδος Γοργο-
φόνη καὶ Ὑπερμνήστρα. Ἴστρος δὲ Ἱπποδάμειαν, Χαλ- 17
κώδων Ῥοδίαν, Ἀγήνωρ Κλεοπάτραν, Χαῖτος Ἀστε-
ρίαν, Διοκορυστὴς Ἱπποδάμειαν, Ἄλκης Γλαύκην,
Ἀλκμήνωρ Ἱππομέδουσαν, Ἱππόθοος Γόργην, Εὐχή-
νωρ Ἰφιμέδουσαν, Ἱππόλυτος Ῥόδην. οὗτοι μὲν οἱ δέ-
κα ἐξ Ἀραβίας γυναικός, αἱ δὲ παρθένοι ἐξ Ἀμαδρυ-
άδων Νυμφῶν, αἱ μὲν Ἀτλαντείης, αἱ δὲ ἐκ Φοίβης.
Ἀγαπτόλεμος δὲ ἔλαχε Πειρήνην, Κερκέτης δὲ Δώριον, 18
Εὐρυδάμας Φάρτιν, Αἴγιος Μνήστραν, Ἄργιος Εὐίπ-
πην, Ἀρχέλαος Ἀναξιβίην, Μενέμαχος Νηλώ, οἱ ⟨μὲν⟩
ἑπτὰ ἐκ Φοινίσσης γυναικός, αἱ δὲ παρθένοι Αἰθιοπίδος.
ἀκληρωτὶ δὲ ἔλαχον δι' ὁμωνυμίαν τὰς Μέμφιδος οἱ ἐκ
Τυρίας, Κλειτὸς Κλειτήν, Σθένελος Σθενέλην, Χρύσιπ-
πος Χρυσίππην. οἱ δὲ ἐκ Καλιάδνης Νηίδος Νύμφης 19
παῖδες δώδεκα ἐκληρώσαντο περὶ τῶν ἐκ Πολυξοῦς
Νηίδος Νύμφης· ἦσαν δὲ οἱ μὲν παῖδες Εὐρύλοχος,
Φάντης, Περισθένης, Ἕρμος, Δρύας, Ποταμών, Κισ-
σεύς, Λίξος, Ἴμβρος, Βρόμιος, Πολύκτωρ, Χθόνιος, αἱ
δὲ κόραι Αὐτονόη, Θεανώ, Ἠλέκτρα, Κλεοπάτρα, Εὐρυ-
δίκη, Γλαυκίππη, Ἀνθήλεια, Κλεοδώρη, Εὐίππη, Ἐρατώ, Στύγνη, Βρύκη. οἱ δὲ Γοργόνος Αἰγύπτῳ γενόμενοι 20
ἐκληρώσαντο περὶ τῶν ἐκ Πιερίας, καὶ λαγχάνει Πε-
ρίφας μὲν Ἀκταίην, Οἰνεὺς δὲ Ποδάρκην, Αἴγυπτος
Διωξίππην, Μενάλκης Ἀδίτην, Λάμπος Ὠκυπέτην,

(15) Die Söhne des Aigyptos aber kamen nach Argos, forderten einerseits dazu auf, die Gegnerschaft zu beenden, verlangten andererseits, dessen Töchter zu heiraten. Danaos aber mißtraute zwar gleichzeitig ihren Anerbietungen, gleichzeitig aber gedachte er auch des Unrechtes wegen seiner Flucht; dennoch stimmte er den Eheschließungen zu und verloste die Mädchen. (16) Hypermnestra nun, die älteste, nahmen sie für Lynkeus aus, und Gorgophone für Proteus; denn diese ⟨Söhne⟩ waren dem Aigyptos von einer königlichen Frau, Argyphië, geboren worden. Von den übrigen aber erlangten Busiris und Enkelados und Lykos und Daïphron diejenigen, die von Danaos mit Europe gezeugt worden waren, nämlich Automate, Amymone, Agaue, Skaie. Diese waren dem Danaos von einer königlichen ⟨Frau⟩ geboren worden, von Elephantis aber Gorgophone und Hypermnestra. (17) Istros aber ⟨erlangte⟩ Hippodameia, Chalkodon Rhodia, Agenor Kleopatra, Chaitos Asteria, Diokorystes Hippodameia, Alkes Glauke, Alkmenor Hippomedusa, Hippothoos Gorge, Euchenor Iphimedusa, Hippolytos Rhode. Diese zehn ⟨Söhne stammten⟩ von einer Araber-Frau ab, die Jungfern aber von Hamadryaden-Nymphen ab, die einen von Atlanteie, die anderen von Phoibe. (18) Agaptolemos aber erlangte Peirene, Kerketes Dorion, Eurydamas Phartis, Aigios Mnestra, Argios Euippe, Archelaos Anaxibië, Menemachos Nelo, die sieben ⟨Söhne⟩ von einer Phoinizier-Frau ⟨abstammend⟩, die Jungfern von einer Aithioperin ⟨stammend⟩. Ohne Losen aber erlangten wegen der Namensgleichheit die ⟨Töchter⟩ der Memphis die von Tyria ⟨stammenden Söhne⟩, nämlich Kleitos Kleite, Sthenelos Sthenele, Chrysippos Chrysippe. (19) Die zwölf Söhne von der Naiaden-Nymphe Kaliadne losten um die ⟨Töchter⟩ von der Naiaden-Nymphe Polyxo; die Söhne waren: Eurylochos, Phantes, Peristhenes, Hermos, Dryas, Potamon, Kisseus, Lixos, Imbros, Bromios, Polyktor, Chthonios; die Mädchen aber: Autonoë, Theano, Elektra, Kleopatra, Eurydike, Glaukippe, Antheleia, Kleodore, Euippe, Erato, Stygne, Bryke. (20) Die dem Aigyptos aber von Gorgo stammenden ⟨Söhne⟩ losten um die von Pieria ⟨stammenden Töchter⟩, und es erlangt Periphas Aktaie, Oineus Podarke, Aigyptos Dioxippe, Menalkes Adite, Lampos Okypete,

Ἴδμων Πυλάργην. οὗτοι δέ εἰσι νεώτατοι· Ἴδας Ἱπποδίκην, Δαΐφρων Ἀδιάντην (αὗται δὲ ἐκ μητρὸς ἐγένοντο Ἕρσης), Πανδίων Καλλιδίκην, Ἄρβηλος Οἴμην, Ὑπέρβιος Κελαινώ, Ἱπποκορυστὴς Ὑπερίππην· οὗτοι ἐξ Ἡφαιστίνης, αἱ δὲ ἐκ Κρινοῦς.

ὡς δὲ ἐκληρώσαντο τοὺς γάμους, ἑστιάσας ἐγχειρίδια 21
δίδωσι ταῖς θυγατράσιν. αἱ δὲ κοιμωμένους τοὺς νυμφίους ἀπέκτειναν πλὴν Ὑπερμνήστρας· αὕτη γὰρ Λυγκέα διέσωσε παρθένον αὐτὴν φυλάξαντα· διὸ καθείρξας αὐτὴν Δαναὸς ἐφρούρει. αἱ δὲ ἄλλαι τῶν Δαναοῦ θυ- 22
γατέρων τὰς μὲν κεφαλὰς τῶν νυμφίων ἐν τῇ Λέρνῃ κατώρυξαν, τὰ δὲ σώματα πρὸ τῆς πόλεως ἐκήδευσαν. καὶ αὐτὰς ἐκάθηρεν Ἀθηνᾶ τε καὶ Ἑρμῆς Διὸς κελεύσαντος. Δαναὸς δὲ ὕστερον Ὑπερμνήστραν Λυγκεῖ συνῴκισε, τὰς δὲ λοιπὰς θυγατέρας εἰς γυμνικὸν ἀγῶνα τοῖς νικῶσιν ἔδωκεν.

Ἀμυμώνη δὲ ἐκ Ποσειδῶνος ἐγέννησε Ναύπλιον. οὗ- 23
τος μακρόβιος γενόμενος, πλέων τὴν θάλασσαν, τοῖς ἐμπίπτουσιν ἐπὶ θανάτῳ ἐπυρσοφόρει. συνέβη οὖν καὶ αὐτὸν τελευτῆσαι ἐκείνῳ τῷ θανάτῳ, ᾧπερ ἄλλων τελευτησάντων ἐπυρσοφφόρει, πρὶν τελευτῆσαι. ἔγημε δέ, ὡς μὲν οἱ Τραγικοὶ λέγουσι, Κλυμένην τὴν Κατρέως, ὡς δὲ ὁ τοὺς Νόστους γράψας, Φιλύραν, ὡς δὲ Κέρκωψ, Ἡσιόνην, καὶ ἐγέννησε Παλαμήδην, Οἴακα, Ναυσιμέδοντα.

Λυγκεὺς δὲ μετὰ Δαναὸν Ἄργους δυναστεύων ἐξ 24
Ὑπερμνήστρας τεκνοῖ παῖδα Ἄβαντα. τούτου δὲ καὶ Ἀγλαΐας τῆς Μαντινέως δίδυμοι παῖδες ἐγένοντο Ἀκρίσιος καὶ Προῖτος. οὗτοι καὶ κατὰ γαστρὸς μὲν ἔτι ὄντες ἐστασίαζον πρὸς ἀλλήλους, ὡς δὲ ἀνετράφησαν, περὶ τῆς βασιλείας ἐπολέμουν καὶ πολεμοῦντες εὗρον ἀσπίδας πρῶτοι. καὶ κρατήσας Ἀκρίσιος Προῖτον Ἄργους ἐξελαύνει. ὁ δ᾽ ἦκεν εἰς Λυκίαν πρὸς Ἰοβάτην, ὡς δέ 25
τινές φασι, πρὸς Ἀμφιάνακτα· καὶ γαμεῖ τὴν τούτου θυγατέρα, ὡς μὲν Ὅμηρος, Ἄντειαν, ὡς δὲ οἱ Τραγικοί,

Idmon Pylarge. Dies aber sind die jüngsten ⟨Söhne⟩: Idas die Hippodike, Daïphron Adiante (diese aber waren von der Mutter Herse geboren), Pandion Kallidike, Arbelos Oime, Hyperbios Kelaino, Hippokorystes Hyperippe; diese ⟨Söhne⟩ von Hephaistine, die ⟨Töchter⟩ aber von Krino ⟨stammend⟩.

(21) Sowie sie aber die Heiraten erlost hatten, bewirtete ⟨Danaos⟩ sie gastlich und gibt seinen Töchtern Dolche in die Hand. Die aber töteten ihre Bräutigame im Schlaf, außer Hypermnestra. Denn diese rettete den Lynkeus, der sie als Jungfer bewahrt hatte; deswegen schloß Danaos sie ein und bewachte sie. (22) Die anderen aber unter den Töchtern des Danaos vergruben die Köpfe ihrer Bräutigame in Lerne, die Körper aber bestatteten sie vor der Stadt. Und es reinigte sie Athena, und auch Hermes, auf des Zeus Befehl. Danaos aber ließ später Hypermnestra mit Lynkeus zusammenwohnen, die übrigen Töchter aber gab er für einen gymnischen Wettkampf den Siegern.

(23) Amymone aber gebar von Poseidon den Nauplios. Dieser war langlebig; er segelte auf dem Meer und brachte denen, die auf ihn stießen, zum Tod ⟨führende⟩ Fackelzeichen. Es widerfuhr ihm nun, daß auch er selbst durch jenen Tod endete, für den er, wenn andere durch ihn endeten, Fackelzeichen brachte, bevor er endete. Geheiratet aber hatte er, wie die Tragiker sagen, Klymene, die Tochter des Katreus, wie aber der Verfasser der ›Nostoi‹ (›Heimfahrten‹) ⟨sagt⟩, Philyra, wie aber Kerkops ⟨sagt⟩, Hesione, und gezeugt hatte er Palamedes, Oiax, Nausimedon.

(24) Lynkeus aber hat nach Danaos die Macht über Argos und setzt mit Hypermestra den Sohn Abas als Kind in die Welt. Von diesem aber und von Aglaïa, der Tochter des Mantineus, wurden Zwillingssöhne gezeugt, nämlich Akrisios und Proitos. Diese standen sogar, als sie noch im Mutterleib waren, gegeneinander auf; sowie sie aber herangewachsen waren, befeindeten sie sich wegen des Königtums, und sich befeindend, erfanden sie Schilde als erste. Und die Überlegenheit gewann Akrisios, und er vertreibt Proitos aus Argos. (25) Der aber kam nach Lykien zu Iobates, wie aber manche behaupten, zu Amphianax. Und er heiratet dessen Tochter, wie Homer ⟨sagt⟩, Anteia, wie aber die Tragiker ⟨sagen⟩,

Σθενέβοιαν. κατάγει δὲ αὐτὸν ὁ κηδεστὴς μετὰ στρατοῦ Λυκίων, καὶ καταλαμβάνει Τίρυνθα, ταύτην αὐτῷ Κυκλώπων τειχισάντων. μερισάμενοι δὲ τὴν Ἀργείαν ἅπασαν κατῴκουν καὶ Ἀκρίσιος μὲν Ἄργους βασιλεύει, Προῖτος δὲ Τίρυνθος.

Καὶ γίνεται Ἀκρισίῳ μὲν ἐξ Εὐρυδίκης τῆς Λακε- 26
δαίμονος Δανάη, Προίτῳ δὲ ἐκ Σθενεβοίας Λυσίππη καὶ Ἰφινόη καὶ Ἰφιάνασσα. αὗται δὲ ὡς ἐτελειώθησαν, ἐμάνησαν, ὡς μὲν Ἡσίοδός φησιν, ὅτι τὰς Διονύσου τελετὰς οὐ κατεδέχοντο, ὡς δὲ Ἀκουσίλαος λέγει, διότι τὸ τῆς Ἥρας ξόανον ἐξηυτέλισαν. γενόμεναι δὲ ἐμμανεῖς ἐπλα- 27
νῶντο ἀνὰ τὴν Ἀργείαν ἅπασαν, αὖθις δὲ τὴν Ἀρκαδίαν καὶ τὴν Πελοπόννησον διελθοῦσαι μετ᾽ ἀκοσμίας ἁπάσης διὰ τῆς ἐρημίας ἐτρόχαζον. Μελάμπους δὲ ὁ Ἀμυθάονος καὶ Εἰδομένης τῆς Ἄβαντος μάντις ὢν καὶ τὴν διὰ φαρμάκων καὶ καθαρμῶν θεραπείαν πρῶτος εὑρηκὼς ὑπισχνεῖται θεραπεύειν τὰς παρθένους, εἰ λάβοι τὸ τρίτον μέρος τῆς δυναστείας. οὐκ ἐπιτρέποντος δὲ Προίτου 28
θεραπεύειν ἐπὶ μισθοῖς τηλικούτοις ἔτι μᾶλλον ἐμαίνοντο αἱ παρθένοι καὶ προσέτι μετὰ τούτων αἱ λοιπαὶ γυναῖκες· καὶ γὰρ αὗται τὰς οἰκίας ἀπολιποῦσαι τοὺς ἰδίους ἀπώλλυον παῖδας καὶ εἰς τὴν ἐρημίαν ἐφοίτων. προβαινούσης δὲ ἐπὶ πλεῖστον τῆς συμφορᾶς τοὺς αἰτηθέντας μισθοὺς ὁ Προῖτος ἐδίδου. ὁ δὲ ὑπέσχετο θεραπεύειν, ὅταν ἕτερον τοσοῦτον τῆς γῆς ὁ ἀδελφὸς αὐτοῦ λάβῃ Βίας. Προῖτος δὲ εὐλαβηθείς, μὴ βραδυνούσης τῆς θεραπείας αἰτηθείη καὶ πλεῖον, θεραπεύειν συνεχώρησεν ἐπὶ τούτοις. Με- 29
λάμπους δὲ παραλαβὼν τοὺς δυνατωτάτους τῶν νεανιῶν μετ᾽ ἀλαλαγμοῦ καί τινος ἐνθέου χορείας ἐκ τῶν ὀρῶν αὐτὰς εἰς Σικυῶνα συνεδίωξε. κατὰ δὲ τὸν διωγμὸν ἡ πρεσβυτάτη τῶν θυγατέρων Ἰφινόη μετήλλαξεν· ταῖς δὲ λοιπαῖς τυχούσαις καθαρμῶν σωφρονῆσαι συνέβη. καὶ ταύτας μὲν ἐξέδοτο Προῖτος Μελάμποδι καὶ Βίαντι, παῖδα δ᾽ ὕστερον ἐγέννησε Μεγαπένθην.

Βελλεροφόντης δ᾽ ὁ Γλαύκου τοῦ Σισύφου κτείνας 30
ἀκουσίως ἀδελφὸν Δηλιάδην, ὡς δέ τινές φασι Πειρῆνα,

Stheneboia. Es führt ihn aber sein Schwiegervater mit einem Heer der Lykier zurück und nimmt Tiryns ein, das ihm die Kyklopen mit einer Mauer versahen. Nachdem sie aber die ganze Argeia aufgeteilt hatten, bewohnten sie sie, und Akrisios regiert als König über Argos, Proitos über Tiryns.

(26) Und dem Akrisios wird von Eurydike, der Tochter des Lakedaimon, Danaë geboren, dem Proitos von Stheneboia Lysippe und Iphinoë und Iphianassa. Sowie diese aber herangereift waren, gerieten sie in Raserei, wie Hesiod behauptet, weil sie die Weihen des Dionysos nicht annahmen, wie aber Akusilaos sagt, deswegen, weil sie die Holzstatue der Hera geringgeschätzt hatten. (27) Aber rasend geworden, irrten sie durch die ganze Argeia umher, durchzogen hinwieder Arkadien und die Peloponnes und liefen mit gänzlicher Unordnung durch die Einöde. Melampus aber, der Sohn des Amythaon und der Eidomene, der Tochter des Abas, der ein Orakeldeuter war und als erster die Heilung durch Zaubermittel und Reinigungen gefunden hatte, verspricht, die Jungfern zu heilen, wenn er den dritten Teil der Macht bekäme. (28) Als Proitos aber die Heilung zu solch großem Lohn nicht gestattete, rasten die Jungfern noch mehr und dazu mit diesen noch die übrigen Frauen; denn auch diese verließen ihre Wohnungen, brachten ihre eigenen Kinder um und gingen in die Einöde. Als aber das Unglück am meisten fortschritt, wollte Proitos den erbetenen Lohn geben. Der aber versprach die Heilung, falls sein Bruder Bias einen anderen, ebensogroßen ⟨Teil⟩ des Landes bekäme. Proitos aber bekam es mit der Angst zu tun, daß bei Verzögerung der Heilung noch mehr von ihm gefordert werde, und erlaubte daher die Heilung zu diesen Bedingungen. (29) Melampus aber nahm die kräftigsten der Jünglinge und verfolgte sie mit Lärm und einem bestimmten gottbegeisterten Tanz aus den Bergen heraus nach Sikyon. Bei der Verfolgung aber wechselte die älteste der Töchter, Iphinoë, ⟨vom Leben zum Tod⟩. Den übrigen aber widerfuhr es, Reinigungen zu erlangen und wieder besonnen zu werden. Und diese gab Proitos an Melampus und Bias, zeugte aber später den Sohn Megapenthes.

(30) Bellerophontes aber, der Sohn des Glaukos, des Sohnes des Sisyphos, tötete unabsichtlich seinen Bruder Deliades – wie aber

ἄλλοι δὲ Ἀλκιμένην, πρὸς Προῖτον ἐλθὼν καθαίρεται. καὶ αὐτοῦ Σθενέβοια ἔρωτα ἴσχει καὶ προσπέμπει λόγους περὶ συνουσίας. τοῦ δὲ ἀπαρνουμένου λέγει πρὸς Προῖτον, ὅτι Βελλεροφόντης αὐτῇ περὶ φθορᾶς προσεπέμψατο λόγους. Προῖτος δὲ πιστεύσας ἔδωκεν ἐπιστολὰς αὐτῷ πρὸς Ἰοβάτην κομίσαι, ἐν αἷς ἐνεγέγραπτο Βελλεροφόντην ἀποκτεῖναι. Ἰοβάτης δὲ ἐπιγνοὺς ἐπέ- 31
ταξεν αὐτῷ Χίμαιραν κτεῖναι νομίζων αὐτὸν ὑπὸ τοῦ θηρίου διαφθαρήσεσθαι· ἦν γὰρ οὐ μόνον ἐνί, ἀλλὰ πολλοῖς οὐκ εὐάλωτον, εἶχε δὲ προτομὴν μὲν λέοντος, οὐρὰν δὲ δράκοντος, τρίτην δὲ κεφαλὴν μέσην αἰγός, δι' ἧς πῦρ ἀνίει. καὶ τὴν χώραν διέφθειρε καὶ τὰ βοσκήματα ἐλυμαίνετο· μία γὰρ φύσις τριῶν θηρίων εἶχε δύναμιν. λέγεται δὲ καὶ τὴν Χίμαιραν ταύτην τραφῆναι μὲν ὑπὸ Ἀμισωδάρου, καθάπερ εἴρηκε καὶ Ὅμηρος, γεννηθῆναι δὲ ἐκ Τυφῶνος καὶ Ἐχίδνης, καθὼς Ἡσίοδος ἱστορεῖ. ἀναβιβάσας οὖν ἑαυτὸν ὁ Βελλεροφόντης ἐπὶ τὸν Πήγα- 32
σον, ὃν εἶχεν ἵππον ἐκ Μεδούσης πτηνὸν γεγενημένον καὶ Ποσειδῶνος, ἀρθεὶς εἰς ὕψος ἀπὸ τούτου κατετόξευσε τὴν Χίμαιραν. μετὰ δὲ τὸν ἀγῶνα τοῦτον ἐπέταξεν αὐτῷ Σολύμοις μαχεσθῆναι. ὡς δὲ ἐτελεύτησε καὶ τοῦτον, Ἀμαζόσιν ἐπέταξεν ἀγωνίσασθαι αὐτόν. ὡς δὲ καὶ 33
ταύτας ἀπέκτεινε, τοὺς τότε νεότητι Λυκίων διαφέρειν δοκοῦντας ἐπιλέξας ἐπέταξεν ἀποκτεῖναι λοχήσαντας. ὡς δὲ καὶ τούτους ἀπέκτεινε πάντας, θαυμάσας τὴν δύναμιν αὐτοῦ ὁ Ἰοβάτης τά τε γράμματα ἔδειξε καὶ παρ' αὐτῷ μένειν ἠξίωσε δοὺς τὴν θυγατέρα Φιλονόην καὶ θνήσκων τὴν βασιλείαν κατέλιπεν αὐτῷ.

Ἀκρισίῳ δὲ περὶ παίδων γενέσεως ἀρρένων χρηστη- 34
ριαζομένῳ ὁ θεὸς ἔφη γενέσθαι παῖδα ἐκ τῆς θυγατρός, ὃς αὐτὸν ἀποκτείνῃ. δείσας οὖν Ἀκρίσιος τοῦτο ὑπὸ γῆν θάλαμον κατασκευάσας χάλκεον τὴν Δανάην ἐφρούρει.

manche behaupten: Peiren, andere aber: Alkimenes –, kam zu Proitos und wird gereinigt. Und zu ihm faßt Stheneboia Liebe und übermittelt ihm Worte bezüglich eines Zusammenseins. Als der das aber ablehnt, richtet sie an Proitos die Worte, daß Bellerophontes ihr Worte bezüglich ihrer Schändung übermittelt habe. Proitos aber glaubte das und gab ihm daher ⟨Täfelchen mit⟩ Befehle⟨n⟩, auf daß er sie zu Iobates bringe, auf denen eingekerbt war, er solle Bellerophontes töten. (31) Nachdem aber Iobates das erkannt hatte, trug er ihm auf, die Chimaira zu töten, in der Meinung, daß er durch das Tier zuschanden werde; denn es war nicht nur für einen einzigen, sondern auch für viele nicht leicht zu fangen; es hatte nämlich das Vorderteil eines Löwen und den Schwanz eines Drachen und den dritten, mittleren Kopf einer Ziege, durch den es Feuer hervorblies. Einerseits machte es das Land zuschanden, andererseits vernichtete es das Weidevieh, denn die eine Natur hatte die Macht von drei Tieren. Es wird aber gesagt, daß auch diese Chimaira von Amisodaros aufgezogen worden sei, wie auch Homer gesagt hat, aber von Typhon und Echidna gezeugt worden sei, wie ja Hesiod berichtet. (32) Es setzte sich nun Bellerophontes auf den Pegasos – das von Medusa und Poseidon stammende geflügelte Pferd, das er hatte –, erhob sich in die Höhe und erschoß von diesem aus mit dem Bogen die Chimaira. Nach diesem Wettstreit aber trug ⟨Iobates⟩ ihm auf, mit den Solymern zu kämpfen. Sowie er aber auch diesen ⟨Wettstreit⟩ beendet hatte, trug er ihm auf, mit den Amazonen zu streiten. (33) Sowie er auch diese getötet hatte, wählte ⟨Iobates⟩ diejenigen aus, die sich damals unter der Jugend der Lykier auszuzeichnen schienen, und trug ihnen auf, ihn zu töten, indem sie sich in einen Hinterhalt legten. Sowie er aber auch diese alle getötet hatte, bewunderte Iobates seine Mächtigkeit, zeigte ihm einerseits die eingekerbten Zeichen, forderte ihn andererseits auf, bei ihm zu bleiben. Er gab ihm seine Tochter Philonoë, und bei seinem Tod hinterließ er ihm das Königtum.

(34) Als Akrisios aber wegen der Geburt männlicher Kinder eine Weissagung einholte, behauptete der Gott, es werde von seiner Tochter ein Sohn geboren, der ihn töte. Akrisios nun geriet davor in Angst, verfertigte deshalb unter der Erde ein ehernes Gemach und

ταύτην μέν, ὡς ἔνιοι λέγουσιν, ἔφθειρε Προῖτος, ὅθεν αὐτοῖς καὶ ἡ στάσις ἐκινήθη· ὡς δὲ ἔνιοί φασι, Ζεὺς μεταμορφωθεὶς εἰς χρυσὸν καὶ διὰ τῆς ὀροφῆς εἰς τοὺς Δανάης εἰσρυεὶς κόλπους συνῆλθεν. αἰσθόμενος δὲ 35
Ἀκρίσιος ὕστερον ἐξ αὐτῆς γεγεννημένον Περσέα μὴ πιστεύσας ὑπὸ Διὸς ἐφθάρθαι τὴν θυγατέρα μετὰ τοῦ παιδὸς εἰς λάρνακα βαλὼν ἔρριψεν εἰς θάλασσαν. προσενεχθείσης δὲ τῆς λάρνακος Σερίφῳ Δίκτυς ἄρας ἀνέθρεψε τοῦτον. βασιλεύων δὲ τῆς Σερίφου Πολυδέκτης 36
ἀδελφὸς Δίκτυος Δανάης ἐρασθείς καὶ ἠνδρωμένου Περσέως μὴ δυνάμενος αὐτῇ συνελθεῖν συνεκάλει τοὺς φίλους, μεθ' ὧν καὶ Περσέα, λέγων ἔρανον συνάγειν ἐπὶ τοὺς Ἱπποδαμείας τῆς Οἰνομάου γάμους. τοῦ δὲ Περσέως εἰπόντος καὶ ἐπὶ τῇ κεφαλῇ τῆς Γοργόνος οὐκ ἀντερεῖν παρὰ μὲν τῶν λοιπῶν ᾔτησεν ἵππους, παρὰ δὲ τοῦ Περσέως οὐ λαβὼν τοὺς ἵππους ἐπέταξε τῆς Γοργόνος κομίζειν τὴν κεφαλήν. ὁ δὲ Ἑρμοῦ καὶ Ἀθηνᾶς 37
προκαθηγουμένων ἐπὶ τὰς Φόρκου παραγίνεται θυγατέρας, Ἐνυὼ καὶ Πεμφρηδὼ καὶ Δεινώ· ἦσαν δὲ αὗται Κητοῦς τε καὶ Φόρκου, Γοργόνων ἀδελφαί, γραῖαι ἐκ γενετῆς. ἕνα τε ὀφθαλμὸν αἱ τρεῖς καὶ ἕνα ὀδόντα εἶχον καὶ ταῦτα παρὰ μέρος ἤμειβον ἀλλήλαις. ὧν κυριεύσας ὁ Περσεύς, ὡς ἀπῄτουν, ἔφη δώσειν, ἂν ὑφηγήσωνται τὴν ὁδὸν τὴν ἐπὶ τὰς Νύμφας φέρουσαν. αὗται δὲ αἱ Νύμφαι 38
πτηνὰ εἶχον πέδιλα καὶ τὴν κίβισιν, ἣν φασί τινες εἶναι πήραν· Πίνδαρος δὲ καὶ Ἡσίοδος ἐν Ἀσπίδι ἐπὶ τοῦ Περσέως·

πᾶν δὲ μετάφρενον εἶχε ⟨κάρα⟩ δεινοῖο πελώρου
⟨Γοργοῦς⟩, ἀμφὶ δέ μιν κίβισις θέε.

ließ Danaë darin bewachen. Diese hatte, wie einige sagen, Proitos geschändet, woraus sich auch der Aufstand unter ihnen entwickelt hatte; wie aber einige behaupten, verwandelte sich Zeus in Gold, strömte durch das Dach in den Schoß der Danaë und kam so mit ihr zusammen. (35) Sobald aber Akrisios später gemerkt hatte, daß Perseus von ihr geboren war, glaubte er nicht, daß sie von Zeus geschändet worden sei, setzte daher seine Tochter mit dem Kind in einen Kasten und warf ihn ins Meer. Nachdem aber der Kasten nach Seriphos getragen worden war, nahm Diktys ihn hoch und zog dieses ⟨Kind⟩ auf. (36) Als König aber regierte über Seriphos Polydektes, der Bruder des Diktys; er verliebte sich in Danaë, und da er, weil Perseus schon zum Manne geworden war, nicht mit ihr zusammenzukommen vermochte, rief er seine Freunde zusammen, mit ihnen auch Perseus, und sagte, sie sollten einen Beitrag zusammenbringen für seine Heirat mit Hippodameia, der Tochter des Oinomaos. Als aber Perseus sprach, daß er auch um den Kopf der Gorgo nicht widersprechen werde, forderte er von den übrigen Pferde, von Perseus aber nahm er die ⟨geforderten⟩ Pferde nicht an, sondern trug ihm auf, den Kopf der Gorgo zu bringen. (37) Der aber begibt sich unter dem Geleit von Hermes und Athena zu des Phorkos Töchtern Enyo und Pemphredo und Deino; denn diese waren Töchter der Keto und des Phorkos, Schwestern der Gorgonen, graue ⟨Frauen⟩ von Geburt an. Sowohl ein einziges Auge als auch einen einzigen Zahn hatten die drei, und das tauschten sie abwechselnd miteinander aus. Dessen ward Perseus Herr; sowie sie es zurückforderten, behauptete er, daß er es geben werde, wenn sie ihn den Weg geleiteten, der zu den Nymphen führe. (38) Diese Nymphen aber hatten geflügelte Schuhe und die Kibisis, von der manche behaupten, sie sei ein Ranzen. Pindar aber und Hesiod im ›Schild‹ ⟨sagen⟩ über Perseus:

und den ganzen Rücken hielt das Haupt des gewaltigen
Scheusals,
der Gorgo, und die Um*lege*tasche umgab es.

εἴρηται δὲ παρὰ τὸ κεῖσθαι ἐκεῖ ἐσθῆτα καὶ τὴν τροφήν. εἶχον δὲ καὶ τὴν ⟨Ἄϊδος⟩ κυνῆν. ὑφηγησαμένων δὲ τῶν 39
Φορκίδων ἀποδοὺς τόν τε ὀδόντα καὶ τὸν ὀφθαλμὸν αὐταῖς καὶ παραγενόμενος πρὸς τὰς Νύμφας καὶ τυχών, ὧν ἐσπούδαζε, τὴν μὲν κίβισιν περιεβάλετο, τὰ δὲ πέδιλα τοῖς σφυροῖς προσήρμοσε, τὴν δὲ κυνῆν τῇ κεφαλῇ ἐπέθετο. ταύτην ἔχων αὐτὸς μὲν οὓς ἤθελεν ἔβλεπεν, ὑπὸ ἄλλων δὲ οὐχ ἑωρᾶτο. λαβὼν δὲ καὶ παρὰ Ἑρμοῦ ἀδαμαντίνην ἅρπην πετόμενος εἰς τὸν Ὠκεανὸν ἦκε καὶ κατέλαβε τὰς Γοργόνας κοιμωμένας. ἦσαν δὲ αὗται Σθενώ, Εὐρυάλη, Μέδουσα. μόνη δὲ ἦν θνητὴ Μέδουσα· 40
διὰ τοῦτο ἐπὶ τὴν ταύτης κεφαλὴν Περσεὺς ἐπέμφθη. εἶχον δὲ αἱ Γοργόνες κεφαλὰς μὲν περιεσπειραμένας φολίσι δρακόντων, ὀδόντας δὲ μεγάλους ὡς συῶν καὶ χεῖρας χαλκᾶς καὶ πτέρυγας χρυσᾶς, δι᾽ ὧν ἐπέτοντο. τοὺς δὲ ἰδόντας λίθους ἐποίουν. ἐπιστὰς οὖν αὐταῖς ὁ 41
Περσεὺς κοιμωμέναις κατευθυνούσης τὴν χεῖρα Ἀθηνᾶς ἀπεστραμμένος καὶ βλέπων εἰς ἀσπίδα χαλκῆν, δι᾽ ἧς τὴν εἰκόνα τῆς Γοργόνος ἔβλεπεν, ἐκαρατόμησεν αὐτήν. ἀποτμηθείσης δὲ τῆς κεφαλῆς ἐκ τῆς Γοργόνος ἐξέθορε 42
Πήγασος πτηνὸς ἵππος καὶ Χρυσάωρ ὁ Γηρυόνου πατήρ· τούτους δὲ ἐγέννησεν ἐκ Ποσειδῶνος. ὁ μὲν οὖν Περσεὺς ἐνθέμενος εἰς τὴν κίβισιν τὴν κεφαλὴν τῆς Μεδούσης ὀπίσω πάλιν ἐχώρει, αἱ δὲ Γοργόνες ἐκ τῆς κοίτης ἀναστᾶσαι τὸν Περσέα ἐδίωκον καὶ συνιδεῖν αὐτὸν οὐκ ἠδύναντο διὰ τῆν κυνῆν· ἀπεκρύπτετο γὰρ ὑπ᾽ αὐτῆς.

παραγενόμενος δὲ εἰς Αἰθιοπίαν, ἧς ἐβασίλευε Κη- 43
φεύς, εὗρε τὴν τούτου θυγατέρα Ἀνδρομέδαν παρακειμένην βορᾶν θαλασσίῳ κήτει. Κασσιέπεια γὰρ ἡ Κηφέως γυνὴ Νηρηίσιν ἤρισε περὶ κάλλους καὶ πασῶν εἶναι κρείσσων ηὔχησεν· ὅθεν αἱ Νηρηίδες ἐμήνισαν καὶ Ποσειδῶν αὐταῖς συνοργισθεὶς πλήμμυράν τε ἐπὶ τὴν χώραν ἔπεμψε καὶ κῆτος. Ἄμμωνος δὲ χρήσαντος τὴν

Genannt aber wird sie ⟨›Um*lege*tasche‹⟩, weil dort Kleid und die Speise ab*gelegt* sind. Sie hatten aber auch des Hades Hundsfellkappe. (39) Da die Phorkiden ihn aber geleiteten, gab er ihnen sowohl das Auge als auch den Zahn zurück; und nachdem er zu den Nymphen gelangt war und erhalten hatte, wonach er strebte, warf er sich die Umlegetasche um, paßte die Schuhe an seine Knöchel und setzte die Hundsfellkappe auf seinen Kopf. Im Besitz dieser erblickte er selbst ⟨alle⟩, die er wollte, von anderen aber wurde er nicht gesehen. Nachdem er aber von Hermes auch noch die unbezwingbare Sichel erhalten hatte, flog er, kam zum Okeanos und traf die Gorgonen schlafend an. Das waren Stheno, Euryale, Medusa. (40) Als einzige sterblich war Medusa; deswegen war Perseus nach dem Kopf dieser ausgeschickt worden. Die Gorgonen aber hatten Köpfe, die mit Drachenschuppen umwunden waren, und große Zähne wie von Schweinen und eherne Hände und goldene Flügel, vermittels derer sie fliegen konnten. (41) Diejenigen aber, die sie ansahen, machten sie zu Steinen. Perseus stellte sich nun über sie, während sie schliefen; indem Athena seine Hand lenkte, schnitt er ihr, abgewandt und in den ehernen Schild blikkend, durch den er das Abbild der Gorgo erblickte, das Haupt ab. (42) Nachdem aber der Kopf abgeschnitten war, sprang aus der Gorgo Pegasos, das geflügelte Pferd, heraus und Chrysaor, der Vater des Geryones; diese gebar sie von Poseidon. Perseus nun legte den Kopf der Medusa in die Umlegetasche und zog sich wieder zurück; die Gorgonen aber standen von ihrer Schlafstelle auf und verfolgten Perseus, doch vermochten sie ihn wegen der Hundsfellkappe nicht zu sehen; denn er wurde unter ihr verborgen.

(43) Er gelangte aber nach Aithiopien, über das Kepheus als König regierte, und fand dessen Tochter Andromeda vor, ausgesetzt als Fraß für ein Meeresungeheuer. Denn Kassiepeia, die Frau des Kepheus, hatte mit den Nereïden an Schönheit gestritten und sich gerühmt, allen überlegen zu sein. Deswegen waren die Nereïden zornig geworden, und Poseidon hatte mit ihnen Groll gefaßt und sowohl eine Überschwemmung gegen das Land als auch ein Ungeheuer geschickt. Als aber Ammon die Befreiung vom Unglück

ἀπαλλαγὴν τῆς συμφορᾶς, ἐὰν ἡ Κασσιεπείας θυγάτηρ Ἀνδρομέδα προτεθῇ τῷ κήτει βορά, τοῦτο ἀναγκασθεὶς ὁ Κηφεὺς ὑπὸ τῶν Αἰθιόπων ἔπραξε καὶ προσέδησε τὴν θυγατέρα πέτρᾳ. ταύτην θεασάμενος ὁ Περσεὺς καὶ 44
ἐρασθεὶς ἀναιρήσειν ὑπέσχετο Κηφεῖ τὸ κῆτος, εἰ μέλλει σωθεῖσαν αὐτὴν αὐτῷ δώσειν γυναῖκα. ἐπὶ τούτοις γενομένων ὅρκων ὑποστὰς τὸ κῆτος ἔκτεινε καὶ τὴν Ἀνδρομέδαν ἔλυσεν. ἐπιβουλεύοντος δὲ αὐτῷ Φινέως, ὃς ἦν ἀδελφὸς τοῦ Κηφέως ἐγγεγυημένος πρῶτος τὴν Ἀνδρομέδαν μαθὼν τὴν ἐπιβουλὴν τὴν Γοργόνα δείξας μετὰ τῶν συνεπιβουλευόντων αὐτὸν ἐλίθωσε παραχρῆμα. παραγενόμενος δὲ εἰς Σέριφον καὶ καταλαβὼν 45
προσπεφευγυῖαν τοῖς βωμοῖς μετὰ τοῦ Δίκτυος τὴν μητέρα διὰ τὴν Πολυδέκτου βίαν εἰσελθὼν εἰς τὰ βασίλεια, συγκαλέσαντος τοῦ Πολυδέκτου τοὺς φίλους ἀπεστραμμένος τὴν κεφαλὴν τῆς Γοργόνος ἔδειξε· τῶν δὲ ἰδόντων, ὁποῖον ἕκαστος ἔτυχε σχῆμα ἔχων, ἀπελιθώθη. καταστήσας δὲ τῆς Σερίφου Δίκτυν βασιλέα ἀπέδωκε τὰ 46
μὲν πέδιλα καὶ τὴν κίβισιν καὶ τὴν κυνῆν Ἑρμῇ, τὴν δὲ κεφαλὴν τῆς Γοργόνος Ἀθηνᾷ. Ἑρμῆς μὲν οὖν τὰ προειρημένα πάλιν ἀπέδωκε ταῖς Νύμφαις, Ἀθηνᾶ δὲ ἐν μέσῃ τῇ ἀσπίδι τῆς Γοργόνος τὴν κεφαλὴν ἐνέθηκε. λέγεται δὲ ὑπ᾽ ἐνίων, ὅτι δι᾽ Ἀθηνᾶν ἡ Μέδουσα ἐκαρατομήθη· φασὶ δέ, ὅτι καὶ περὶ κάλλους ἠθέλησεν ἡ Γοργὼ αὐτῇ συγκριθῆναι.

Περσεὺς δὲ μετὰ Δανάης καὶ Ἀνδρομέδας ἔσπευδεν 47
εἰς Ἄργος, ἵνα Ἀκρίσιον θεάσηται. ὁ δὲ δεδοικὼς τὸν χρησμὸν ἀπολιπὼν Ἄργος εἰς τὴν Πελασγιῶτιν ἐχώρησε γῆν. Τευταμίδα δὲ τοῦ Λαρισαίων βασιλέως ἐπὶ κατοιχομένῳ τῷ πατρὶ διατιθέντος γυμνικὸν ἀγῶνα παρεγένετο καὶ ὁ Περσεὺς ἀγωνίσασθαι θέλων, ἀγωνιζόμενος δὲ πένταθλον τὸν δίσκον ἐπὶ τὸν Ἀκρισίου πόδα βαλὼν παραχρῆμα ἀπέκτεινεν αὐτόν. αἰσθόμενος 48
δὲ τὸν χρησμὸν τετελειωμένον τὸν μὲν Ἀκρίσιον ἔξω τῆς

weissagte, wenn die Tochter der Kassiepeia, Andromeda, dem Ungeheuer zum Fraß vorgesetzt werde, hatte Kepheus, von den Aithiopern gezwungen, das gemacht und seine Tochter an einen Felsen gefesselt. (44) Nachdem Perseus diese erblickt und sich in sie verliebt hatte, versprach er Kepheus, das Ungeheuer zu beseitigen, wenn er sie ihm nach ihrer Rettung zur Frau geben werde. Sobald es unter diesen Bedingungen zu Eiden gekommen war, hielt er dem Ungeheuer stand, tötete es und löste Andromeda ⟨aus ihren Fesseln⟩. Einen Hinterhalt bereitete ihm aber Phineus, der der Bruder des Kepheus war und sich als erster mit Andromeda verlobt hatte; nachdem ⟨Perseus⟩ also von dem Hinterhalt Kenntnis erhalten hatte, zeigte er die Gorgo und versteinerte ihn mit denen, die den Hinterhalt mitgelegt hatten, auf der Stelle. (45) Er gelangte aber nach Seriphos und traf seine Mutter an, wie sie mit Diktys wegen der Gewalttätigkeit des Polydektes ihre Zuflucht an den Altären suchte. Daher betrat er den Königspalast; als Polydektes seine Freunde zusammenrief, wandte er sich ab und zeigte so den Kopf der Gorgo. Als die ihn aber sahen, wurde jeder in der Haltung, die er gerade hatte, zu Stein. (46) Nachdem er aber Diktys als König von Seriphos eingesetzt hatte, gab er die Schuhe und die Umlegetasche und die Hundsfellkappe Hermes zurück, den Kopf der Gorgo aber Athena. Hermes nun gab das Vorhergenannte wieder an die Nymphen zurück, Athena aber setzte mitten in ihren Schild den Kopf der Gorgo ein. Es wird aber von einigen gesagt, daß wegen Athena der Medusa das Haupt abgeschnitten worden sei; denn sie erklären, daß die Gorgo gewünscht habe, sich auch an Schönheit mit ihr zu messen.

(47) Perseus aber eilte mit Danaë und Andromeda nach Argos, auf daß er Akrisios sehe. Der aber ängstigte sich vor der Weissagung, verließ Argos und zog sich ins Pelasgiotische Land zurück. Als aber Teutamidas, der König der Larisaier, für seinen dahingegangenen Vater einen gymnischen Wettstreit veranstaltete, begab sich auch Perseus dorthin, da er mitzustreiten wünschte; als er aber im Fünfkampf stritt, warf er den Diskus Akrisios an den Fuß und tötete ihn auf der Stelle. (48) Nachdem er aber gemerkt hatte, daß die Weissagung vollendet worden sei, begrub er Akrisios außerhalb